τὴν ζημίαν. Δεῖ γὰρ οἶμαι τοὺς ἀνακειμένους [5]) Θεῷ, καὶ
πρὸς αὐτὸν βλέποντας μόνον, οὕτω διακεῖσθαι εὐλαβῶς, ὡς
μηδὲ ὕβριν τὸ τοιοῦτο ἡγεῖσθαι, καὶ εἰ μυριάκις ἠτιμωμένοι
τυγχάνοιεν. Ὅτι δὲ οὐδὲ μέχρι ἐννοίας τετόλμηταί τι τοιοῦτον 154
ἐμοὶ, δῆλον ἐκεῖθεν. εἰ μὲν γὰρ ἀπονοίᾳ καὶ φιλοδοξίᾳ, ὡς
πολλάκις ἔφης τινὰς διαβάλλειν, ἐπὶ τοῦτο ἦλθον ἐγὼ, ψηφί-
σασθαι [6]) τοῖς κατηγόροις τῶν τὰ μέγιστα ἠδικηκότων ἂν

1) *διήνυσται.* Vetus interpres, *explicita est.* et apud eundem in clausula cujusque libri extat solenne olim verbum *explicit.* in argumento: *expliciunt capitula.*

2) *ἐδεξάμεθα.* Suscepit pro sua quidem parte Basilius: sed propter Chrysostomum, qui non suscepisset, accusabatur: ideo communem defensionem exquirit. §. 151. [Melius tribuuntur haec quoque verba Chrysostomo. *L.*]

3) *φημί.* Hoc cum parrhesia opponitur *τῷ φασίν.* §. praeced. Sic, *φαίην.* §. 156.

4) *εἰς ἀνθρώπους.* Vide probatissimi Theologi *A. H. Franckii* librum: *von der Menschen-Furcht*, qui etiam *Nicodemus* inscribitur, et ipsi *ordini ecclesiastico* dedicatus est. Summam rei aurea sententia complexus est h. l. Chrysostomus.

5) *ἀνακειμένους.* De hominibus rebusve *consecratis* hoc verbum proprie dici, copiose docet Athenaeus l. 1. c. 19. Patrum testimonia, Chrysostomi maxime, collegit *Suicerus.* [Chrysostomus nimirum hoc verbum saepe usurpat de iis, qui se totos Deo consecrarunt. Hom. XII. in Ep. ad Philipp. *ὁ ἐνάρετος καὶ θεῷ ἀνακείμενος.* In Psal. CIV. p. 943. *Ὅταν οἱ ἀνακείμενοι αὐτῷ βίον ἄριστον ἐπιδείξωνται.* *L.*]

6) *ψηφίσασθαι τοῖς κατηγόροις τῶν τὰ μέγιστα ἠδικηκότων ἂν εἴην.* Ardui commatis non arduam analysin aequus lector non postulabit. Sententia apparet eadem, quae exstat §. 57. *ἑαυτῶν καταγνωσόμεθα ταῦτα, ἃ τῶν ἀδικούντων οἱ δικάζοντες, ὅταν αὐτοὺς ἕλωσιν οἱ κατήγοροι.* Ad *εἴην* subauditur nominativus *εἷς.* ex eo pendet genitivus *τῶν.* sensus: *valde reus sim.* Ex hoc sensu pendet *ψηφίσασθαι τοῖς κατηγόροις*, quod Latino passivo expressimus. nam activo mire utuntur Graeci. Lucianus, *palus βαθεῖα διαβαίνειν profunda transitu.* Basilius Sel. Or. XI. de Elia:

ἡλικίαν ἐν τῇ τῶν ἔξωθεν λόγων ματαιοπονίᾳ[13]) καταναλώ-
159 σαντα ἐξαίφνης εἰς ταύτην εἵλκυσαν τὴν τιμήν; Ταῦτα καὶ πλείονα τούτων λέγειν εἶχον ἄν, δεξαμένων ἡμῶν τὴν ἀρχήν, ἀλλ᾽ οὐ νῦν. πᾶσα γὰρ αὐτοῖς κακηγορίας ἐκκέκοπται πρόφασις; καὶ οὔτε ἐμοὶ κολακείαν, οὔτε μισθαρνίαν[14]) ἐκείνοις ἔχουσιν ἐγκαλεῖν, πλὴν εἴ τινες ἁπλῶς μαίνεσθαι βούλοιντο.
160 Πῶς γὰρ ὁ κολακεύων καὶ χρήματα ἀναλίσκων, ἵνα τύχῃ τῆς τιμῆς, ἡνίκα ἔδει τυχεῖν, ἑτέροις ἂν ἀφῆκεν αὐτήν; ὅμοιον γὰρ ἂν εἴη τοῦτο, ὥσπερ ἂν εἴ τις πολλοὺς περὶ τὴν γῆν ἀνασχόμενος πόνους, ἵνα βρίθηται[15]) μὲν αὐτῷ τὸ λήϊον[16]) πολλῷ τῷ καρπῷ, οἴνῳ δὲ ὑπερβλύζωσιν αἱ ληνοί· μετὰ τοὺς μυρίους ἱδρῶτας καὶ τὴν πολλὴν τῶν χρημάτων δαπάνην, ἡνίκα καλαμᾶσθαι καὶ τρυγᾶν δέῃ, τηνικαῦτα ἑτέροις τῆς τῶν καρ-
161 πῶν ἐκσταίη φορᾶς. Ὁρᾷς, ὅτι τότε μὲν εἰ καὶ πόῤῥω τῆς ἀληθείας ἦν τὰ λεγόμενα, ἀλλ᾽ ὅμως εἶχον πρόφασιν οἱ βουλόμενοι διαβάλλειν αὐτούς, ὡς οὐκ ὀρθῇ κρίσει λογισμῶν τὴν αἵρεσιν πεποιημένους; ἡμεῖς δὲ αὐτοῖς νῦν οὐδὲ χάναι, οὐδὲ ἁπλῶς διᾶραι τὸ στόμα συνεχωρήσαμεν. καὶ τὰ μὲν παρὰ τὴν
162 ἀρχὴν λεγόμενα, τοιαῦτα ἂν ἦν, καὶ τούτων πλείονα. Μετὰ δὲ τὸ τῆς διακονίας ἅψασθαι οὐκ ἂν ἠρκέσαμεν καθ᾽ ἑκάστην ἡμέραν τοῖς ἐγκαλοῦσιν ἀπολογούμενοι, εἰ καὶ πάντα ἡμῖν ἀναμαρτήτως ἐπράττετο, μὴ ὅτι καὶ πολλὰ διαμαρτεῖν ὑπό τε τῆς ἀπειρίας καὶ τῆς ἡλικίας ἠναγκάσθημεν ἄν; νῦν δὲ καὶ ταύτης αὐτοὺς τῆς κατηγορίας[17]) ἀπηλλάξαμεν, τότε δὲ μυ-
163 ρίοις ἂν αὐτοὺς περιεβάλλομεν ὀνείδεσι. Τί γὰρ οὐκ ἂν εἶ-

---

13) πόνων· ματαιοπονία. Notandum antithetoп. Isidorus Pelusiota: ἐγὼ τὰ ἐπιτηδεύματα, ὧν οὐκ ἔστι τὸ τέλος βιωφελές, οὐδὲ τέχνας εἶναι ὁρίζομαι, ἀλλὰ ματαιοτεχνίας.

14) μισθαρνίαν. Vetus int. vendibilitatem. [Paulo ante pro κακηγορίας Hasselbachius conjecit κατηγορίας. L.]

15) βρίθειν. cf. Philo p. 720. D. βλαστάνοντα (ἀμπελῶνα) καὶ βρίθοντα ὑπ᾽ εὐφορίας. Chrysost. T. I, p. 496. E. τὰς ἀμπέλους ἰδὼν κομώσας τοῖς φύλλοις, τῷ καρπῷ βριθομένας. Cf. T. III, p. 260. D. et T. IV, p. 110. B. τὰ δένδρα τοῖς καρποῖς βριθόμενα. Eodem modo usurpatur quoque verbum βρύειν. De utroque verbo monet Eustath. ad Hom. p. 1625. v. 19. 20. coll. p. 1136. v. 5. 6. et Fischer, in Ind. ad Aesch. Socr. s. h. v. L.

16) λήϊον. Male plerumque vertunt seges. Est potius ager, in quo segetes continentur, das Fruchtfeld. De derivatione hujus vocis vid. Damm. Lex. Hom. h. v. L.

17) κατηγορίας. Quidam habent, κακηγορίας. Montef. Consentit verae huic lectioni vetus int. vituperatione, conf. §. 159. 157.

πον; παισὶν ἀνοήτοις πράγματα οὕτω θαυμαστὰ καὶ μεγάλα ἐπέτρεψαν· ἐλυμήναντο τοῦ Θεοῦ τὸ ποίμνιον· παίγνια καὶ γέλως γέγονε τὰ Χριστιανῶν. ἀλλὰ νῦν πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς· εἰ γὰρ καὶ διά σε ταῦτα λέγοιεν, ἀλλὰ ταχέως αὐτοὺς διδάξεις διὰ τῶν ἔργων, ὅτι οὐ χρὴ τὴν σύνεσιν 18) ἡλικίᾳ κρίνειν, 19) οὐδὲ τὸν πρεσβύτην 20) ἀπὸ τῆς πολιᾶς δοκιμάζειν, οὐδὲ τὸν νέον πάντως ἀπείργειν τῆς τοιαύτης διακονίας, ἀλλὰ τὸν νεόφυτον, 21) πολὺ δὲ ἀμφοτέρων τὸ μέσον. 22)

---

18) *οὐ χρὴ τὴν σύνεσιν.* *Πρεσβυτέρους γὰρ οὐ τοὺς πολυέτεις καὶ παλαιοὺς νομίζουσιν, οὐδ' ἔτι κομιδῇ νέους παῖδας, ἐὰν ὀψὲ τῆς προαιρέσεως ἐρασθῶσιν· ἀλλὰ τοὺς ἐκ πρώτης ἡλικίας ἐνηβήσαντας καὶ ἐνακμάσαντας τῷ θεωρητικῷ μέρει φιλοσοφίας, ὃ δὴ κάλλιστον καὶ θειότατόν ἐστι.* Philo p. 616. *Hoeschelius.*

19) *ἡλικίᾳ κρίνειν.* Scribit etiam Paulus Timotheo. 1. Ep. IV, 12. *Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ.* *L.*

20) *πρεσβύτην.* Egregie Odonem ex cantore Bituricensi episcopum Parisiensem laudat Petrus Blesensis: *Super senes intelligens pueritiae dies antiquabat moribus, tempora praeveniebat meritis, et quod deerat aetati, virtutibus compensabat.* Digna legi est, quae hoc habet, tota Epistola 126. Vide etiam Sap. IV. 8. 9.

21) *τὸν νεόφυτον.* Sic Homil. 10. in 1. Tim. III. *οὐ τὸν νεώτερον ἐνταῦθα λέγει, ἀλλὰ τὸν νεοκατήχητον. — εἰ γὰρ πρὶν ἢ γενέσθαι μαθητὴς διδάσκαλος γένοιτο, ταχέως καὶ εἰς ἀπόνοιαν ἔρχεται· εἰ πρὶν ἢ μαθεῖν ἄρχεσθαι τῶν ἀρχόντων γένοιτο, φυσᾶται. διὰ τοῦτο ἐπήγαγεν, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου· τουτέστιν, εἰς τὴν καταδίκην τὴν αὐτὴν, ἣν ἐκεῖνος ἀπὸ τῆς ἀπονοίας ὑπέμεινε.* Congruit Hom. 3. in Jesa. c. VI. [De Antistite Sacro haud *νεοφύτῳ* singularem dissertationem scripsit, a. 1748. *J. S. Fehmel*, quem vide pag. 5. Arrianus quoque in Epictet. IV, 8. hominem minus recte instructum vocat *φυτάριον*, metaphora a plantis desumta. *L.*]

22) *ἀμφοτέρων τὸ μέσον.* *Μέσον* cum duobus genitivis, §. 165. 192. 531. 569. 615. cum praepositione *πρὸς*, §. 120. not.. Caeterum discrimen hoc egregie illustrat *Ambrosii* de Neophytis sententia: *quod LONGO tempore minime discunt, in parvo tempore servare non possunt.* lib. de Dign. sacerd. c. 4. notatur diuturnitas disciplinae, et discentium tarditas. quales proprie *insolentes* dicuntur.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ Γ′.

Τάδε ἔνεστιν ἐν τῷ γ′ λόγῳ.

164 Τῆς μὲν οὖν ὕβρεως ἕνεκεν τῆς εἰς τοὺς τετιμηκότας, καὶ ὅτι αὐτοὺς οὐ καταισχῦναι βουλόμενοι ταύτην ἐφύγομεν τὴν τιμὴν, ταῦτα ἂν ἔχοιμεν λέγειν, ἅπερ εἰρήκαμεν· ὅτι δὲ οὐδὲ ὑπὸ ἀπονοίας τινὸς φυσηθέντες, καὶ τοῦτο νῦν εἰς δύναμιν τὴν
165 ἐμὴν πειράσομαί σοι ποιῆσαι φανερόν. Εἰ μὲν γὰρ στρατη-

*) *Sapientissimum* etc. Habet haec Interpres vetus, et ex eo, Lemmate XVIII. omisso, alii: Graeci libri non habent. Idem Interpres summam capitis XV. ita exhibet: *Aliam speciem litis, plenam periculorum, Johannes ostendit.* Id quod non est a manu Chrysostomi.

γίας ἡμῖν ἢ βασιλείας αἵρεσις προὔκειτο, εἶτα ταύτην [1]) εἶχον
τὴν γνώμην, εἰκότως ἄν τις τοῦτο ὑπέλαβεν ἢ τότε μὲν ἀπο-
νοίας οὐδείς, ἀνοίας [2]) δὲ πάντες ἂν ἡμᾶς ἔκριναν. Ἱερωσύνης
δὲ προκειμένης, ἣ τοσοῦτον ἀνωτέρω βασιλείας ἕστηκεν, ὅσον
πνεύματος καὶ σαρκὸς τὸ μέσον, τολμήσει τις ἡμᾶς ὑπεροψίας
γράφεσθαι; Καὶ πῶς οὐκ ἄτοπον, τοὺς μὲν τὰ μικρὰ δια- 166
πτύοντας, ὡς παραπαίοντας [3]) αἰτιᾶσθαι· τοὺς δὲ ἐπὶ τῶν
ἄγαν ὑπερεχόντων τοῦτο ποιοῦντας, τῶν μὲν τῆς παραπλη-
ξίας ἐγκλημάτων ἐξαιρεῖν, ταῖς δὲ τῆς ὑπερηφανίας ὑποβάλλειν
αἰτίαις; ὥσπερ ἂν εἴ τις τὸν ἀγέλης βοῶν καταφρονοῦντα,
καὶ μὴ βουλόμενον εἶναι βουκόλον, εἰς ὑπερηφανίαν μὲν οὐδα-
μῶς, εἰς δὲ φρενῶν ἔκστασιν αἰτιώμενος, τὸν ἁπάσης τῆς οἰ-
κουμένης τὴν βασιλείαν καὶ τὸ γενέσθαι κύριον τῶν ἁπανταχ-
χοῦ στρατοπέδων, μὴ δεχόμενον, ἀντὶ τοῦ μαίνεσθαι τετυφῶ-
σθαι [4]) φαίη. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· οὐδὲ ἡμᾶς 167
μᾶλλον, ἢ ἑαυτούς, οἱ ταῦτα λέγοντες διαβάλλουσι. Τὸ γὰρ
ἐννοῆσαι μόνον, ὅτι δυνατὸν ἀνθρωπείᾳ φύσει τῆς ἀξίας ὑπερ-
φρονῆσαι ἐκείνης, δεῖγμα κατ' αὐτῶν τῶν ἐκφερόντων ἐστίν,
ἧς ἔχουσι περὶ τοῦ πράγματος δόξης. εἰ γὰρ μὴ τῶν τυχόντων
αὐτό, καὶ ὧν οὐ πολὺς ὁ λόγος, ἐνόμιζον εἶναι, οὐδ' ἂν
ὑποπτεῦσαι τοῦτο ἐπῆλθεν αὐτοῖς. Διὰ τί γὰρ περὶ τῆς τῶν 168
ἀγγέλων [5]) ἀξίας οὐδεὶς ἐτόλμησέ τι τοιοῦτον ὑποπτεῦσαί ποτε
καὶ εἰπεῖν, ὅτι ἔστιν ἀνθρωπίνη ψυχὴ δι' ἀπόνοιαν οὐκ ἀνε-
χομένη ἐπὶ τὸ τῆς φύσεως ἐκείνης ἀξίωμα ἐλθεῖν; μεγάλα γάρ
τινα φανταζόμεθα περὶ τῶν δυνάμεων ἐκείνων, καὶ τοῦτο ἡμᾶς
οὐκ ἀφίησι πιστεῦσαι, ὅτι δύναιτ' ἂν ἄνθρωπος τῆς τιμῆς
φρονῆσαί τι μεῖζον ἐκείνης. Ὥστε αὐτοὺς μᾶλλον δικαίως ἂν 169

---

1) εἶτα ταύτην. Sic εἶτα post εἰ, §. 206. Alii hoc loco iterum εἰ scribunt.

2) ἀπονοίας· ἀνοίας. Paronomasia. sic, πλοῦτος, πλῆθος. §. 62. ἀσχολία καὶ δυσκολία. §. 327. δουλεία καὶ δειλία. §. 586.

3) ὡς παραπαίοντας, ut delirantes. Est παραπαίειν proprie nostrum *fehlschlagen*. Vid. *Fischer*. in Ind. ad Palaeph. s. v. παρατρέπειν. *L.*

4) τετυφῶσθαι. In bibliis sacris occurrit h. v. 1. Tim. III, 6. et VI, 4., ubi, ut nostro in loco, est: *vano stolidoque fastu laborare*. Cf. Joseph. c. Apion. I, 3. πῶς οὖν οὐκ ἄλογον τετυφῶσθαι τοὺς Ἕλληνας ὡς μόνους ἐπισταμένους τὰ ἀρχαῖα; *L.*

5) ἀγγέλων. De dignitate naturae angelicae et humanae passim disputatur. Fortasse non minus miratur angelus hominem divinitus consummatum, quam hic illum. [Cf. *Du Pin* Biblioth. Eccles. T. III, p. 71. *L.*]

τις γράψαιτο ἀπονοίας, τοὺς ἡμᾶς τοῦτο κατηγοροῦντας· οὐ
γὰρ ἄν ποτε περὶ ἑτέρων τοῦτο ὑπέλαβον, εἰ μὴ πρότερον
αὐτοὶ τοῦ πράγματος, ὡς οὐδενὸς ὄντος, κατέγνωσαν.
170 II. Εἰ δὲ πρὸς δόξαν ὁρῶντας τοῦτο πεποιηκέναι φασὶ,
περιπίπτοντες ἑαυτοῖς ἐλεγχθήσονται καὶ μαχόμενοι φανερῶς.
οὐδὲ γὰρ οἶδα, ποίους ἂν ἑτέρους πρὸ τούτων ἐζήτησαν λό-
γους, εἰ τῶν τῆς κενοδοξίας ἡμᾶς ἠθέλησαν ἀπαλλάξαι ἐγκλη-
μάτων. Εἰ γὰρ οὗτός με ποτε εἰσῆλθεν ὁ ἔρως, καταδέξασθαι
171 μᾶλλον ἐχρῆν ἢ φυγεῖν. διὰ τί; ὅτι [1]) πολλὴν ἡμῖν τοῦτο τὴν
δόξαν ἤνεγκεν ἄν. τὸ γὰρ ἐν τούτῳ τῆς ἡλικίας ὄντα, καὶ
πρὸ βραχέος ἀποστάντα τῶν βιωτικῶν φροντίδων, ἐξαίφνης
οὕτω δόξαι παρὰ πᾶσιν εἶναι θαυμαστὸν, ὥστε τῶν τὸν ἅπαντα
χρόνον ἐν τοῖς τοιούτοις ἐξαναλωθέντων πόνοις προτιμηθῆναι,
καὶ πλείονας ψήφους πάντων ἐκείνων λαβεῖν, θαυμαστά τινα
καὶ μεγάλα περὶ ἡμῶν πάντας ἂν ὑποπτεύειν ἔπεισε, καὶ σε-
172 μνοὺς ἂν ἡμᾶς καὶ περιβλέπτους κατέστησε. Νῦν δὲ, πλὴν
ὀλίγων, τὸ πλέον τῆς ἐκκλησίας μέρος, οὐδὲ ἐξ ὀνόματος
ἡμᾶς ἴσασιν· ὥς τε οὐδὲ, ὅτι παρῃτήμεθα, πᾶσίν ἐστι φανε-
ρὸν, ἀλλ' ὀλίγοις τισὶν, οὓς οὐδὲ αὐτοὺς οἶμαι τὸ σαφὲς εἰ-
δέναι πάντας, εἰκὸς δὲ, καὶ τούτων πολλοὺς ἢ μηδόλως ἡμᾶς
ᾑρῆσθαι νομίσαι ἢ παρεῶσθαι [2]) μετὰ τὴν αἵρεσιν, ἀνεπιτη-
δείους εἶναι δόξαντας, οὐχ ἑκόντας φυγεῖν.
173 III. ΒΑΣ. Ἀλλ' οἱ τἀληθὲς εἰδότες θαυμάσονται. ΙΩ. Καὶ
μὴν τούτους, ἔφης, ὡς κενοδόξους καὶ ὑπερηφάνους διαβάλ-
λειν ἡμᾶς. Πόθεν οὖν ἔστιν ἐλπίσαι τὸν ἔπαινον; ἀπὸ τῶν
πολλῶν; ἀλλ' οὐκ ἴσασι τὸ σαφές. ἀλλ' ἐκ τῶν ὀλίγων; ἀλλὰ
κἀνταῦθα ἡμῖν εἰς τοὐναντίον τὸ πρᾶγμα περιτέτραπται· οὐδὲ
γὰρ ἑτέρου τινὸς ἕνεκεν ἐνθάδε εἰσῆλθες νῦν, ἀλλ' ἵνα μάθῃς,
174 τί πρὸς ἐκείνους ἀπολογήσασθαι δέοι. Καὶ τί τούτων ἕνεκεν
ἀκριβολογοῦμαι νῦν; ὅτι γὰρ, εἰ καὶ πάντες ᾔδεσαν τἀληθὲς,
οὐδὲ οὕτως ἡμᾶς ἀπονοίας ἢ φιλοδοξίας ἔδει κρίνειν, μικρὸν
ἀνάμεινον καὶ τοῦτο εἴσῃ σαφῶς· καὶ πρὸς τούτῳ πάλιν ἐκεῖνο,

---

1) διὰ τί; ὅτι. Eadem formula §. 134. Sixtus Senensis: *Chrysostomus, quo majori cum attentione detineat, orationis cursum frequentibus dialogismis, percontatiunculis et excitatiunculis interrumpere solet.*

2) παρεῶσθαι. Suidas, παρωθοῦντες, ἐκβάλλοντες. *Hesych.* παρώσας, ἐλάσας, ἐκβαλών. Exempla vide ap. *Budae.* p. 351. *Thirlby.* Παρεωρᾶσθαι, Savil. Atqui nemo μετὰ τὴν αἵρεσιν demum *praeteritur.*

ὅτι οὐ τοῖς ταύτην τόλμωσι τὴν τόλμαν μόνον, εἴπερ τίς ἐστιν ἀνθρώπων, οὐ γὰρ ἔγωγε πείθομαι, ἀλλὰ καὶ τοῖς περὶ ἑτέρων ὑποπτεύουσι κίνδυνος ἐπικείσεται οὐ μικρός.

IV. Ἡ γὰρ Ἱερωσύνη [1]) τελεῖται μὲν ἐπὶ γῆς, τάξιν δὲ 175
ἐπουρανίων ἔχει πραγμάτων. καὶ μάλα γε εἰκότως. οὐ γὰρ ἄνθρωπος, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐκ ἄλλη τις κτιστὴ δύναμις, ἀλλ' αὐτὸς ὁ Παράκλητος ταύτην διετάξατο τὴν ἀκολουθίαν, [2]) καὶ ἔτι μένοντας ἐν σαρκὶ τὴν ἀγγέλων ἔπεισε φαντάζεσθαι διακονίαν. διὸ χρὴ τὸν ἱερωμένον ὥσπερ ἐν αὐτοῖς ἑστῶτα τοῖς οὐρανοῖς μεταξὺ τῶν δυνάμεων ἐκείνων οὕτως εἶναι καθαρόν. [3]) Φοβερὰ μὲν γὰρ καὶ φρικωδέστατα καὶ 176

---

1) *ἱερωσύνη*. Nunc ad rem venit. Variis nominibus in novo Testamento oeconomos Dei ornatos legimus: *ἱερεῖς* vero i. e. *sacerdotes* appellantur omnes ii, qui *προσαγωγὴν aditum* ad Deum per fidem nacti sunt. Ecclesiastici tamen scriptores *ἱερέας* et *sacerdotes* appellant duces et rectores gregis Christi, et *ἱερωσύνην sacerdotium*que munus eorum: vel quia ante susceptam Christianam religionem his vocabulis assueverant; vel quod V. T. stilum in ea re sibi imitandum putarent; vel quod generale vocabulum ad sermonis compendium reperirent nullum sibi aptius. Nos item cum Chrysostomo hac quidem tantisper appellatione utimur; sed ea solum de causa, quam loco proximo posuimus, et ea solum notione, quam puriora probarunt tempora, et quam ipsum affert etymon, ut denotetur *sacrum* munus publicum, et vir qui id sustinet. Vide *Suiceri* Thesaurum in *ἱερεύς*. Ceteroqui *sacerdotis* appellationem, de ministro ecclesiae, haud scio an valde amare possit, quisquis aut Christi proprium aut Christianorum commune *sacerdotium* spirituali intelligentia assecutus est. Nervose Homil. 43. Op. imperf. in Matth. *Non omnis sacerdos sanctus est: sed omnis sanctus sacerdos*. Plures micas veterum, etiam Chrysostomi, de *fidelium sacerdotio*, habent *Casauboniana*. Adde Not. ad §. 187. [Cf. *Hughes* ad Greg. Naz. p. 436. *L.*]

2) *ἀκολουθίαν*. *Abs re fortasse hic non erit observare, vocabulum istud in libris Graecorum liturgicis in singularem hanc significationem deflecti, ut denotet precum formulas et* Officia ecclesiastica, *sic dicta, inquit Goar., quod eorum* partes ordinato nexu inter se cohaerent seque consequuntur. *Hujusmodi autem sunt in Euchology.* Ἀκολουθία τοῦ ἁγίου βαπτίσματος, Ἀκολουθία ἐπὶ μνήστροις, Ἀκολουθία ἐπὶ αὐχμῷ ἀνομβρίας *etc. de quibus vide Suicer. Thes. eccl. et Du Fresn. Glossar. Graec. item Goar. Euchology. p.* 11. 34. *Thirlby.* Ἀκολουθία et *κανὼν* ut synonyma adhibet Chrysostomus in Ps. 95. οὐδὲν (παρὰ θεοῦ) ἄνευ μέτρου, οὐδὲν ἄνευ σταθμοῦ, οὐδὲν ἄνευ ἀκολουθίας. — οὐ γὰρ ἄμετρος ἡ θεία δίκη, ἀλλὰ μέτρῳ καὶ κανόνι καὶ σταθμῷ κεκανόνισται. Hic autem synonymon est *τάξις*, cum eo tamen, ut *ἱερωσύνη τάξιν habere ἀκολουθία esse* dicatur. utriusque vocabuli vim complectitur Latinum *Ordo*. Ac praeclare et humanae societatis, et Christianismi et sacerdotii *Officia* explicari possunt, si singula inter se, quatenus eorum anima est *Ordo*, comparentur.

3) *οὕτως εἶναι καθαρόν*. August. Ep. ad Valerium. ed. Basil. 148. „Nihil esse in hac vita et maxime hoc tempore facilius

τὰ πρὸ τῆς χάριτος,[4]) οἷον οἱ κώδωνες,[5]) οἱ ῥοΐσκοι[6]) οἱ λίθοι οἱ τοῦ στήθους,[7]) οἱ τῆς ἐπωμίδος,[8]) ἡ μίτρα, ἡ κί-

---

et laetius et hominibus acceptabilius, episcopi aut presbyteri aut diaconi officio, si perfunctorie et adulatorie res agatur; sed nihil apud Deum miserius et tristius et damnabilius. *Item nihil esse in hac vita et maxime hoc tempore difficilius, laboriosius, periculosius episcopi aut presbyteri aut diaconi officio, sed apud Deum nihil beatius si eo modo militetur, quo noster Imperator jubet.*" *L.*

4) τὰ πρὸ τῆς χάριτος. Notionibus vocabuli χάρις, quas ex patribus Graecis collegit Suicerus, addenda venit illa, *Novum Testamentum*. nam inde demum χάρις etiam significat utrumvis, ut ille observat, sacramentum, novi Testamenti videlicet. Non possumus non Basilii Sel. insignem, qui huc pertinet, locum emendare. Or. XIII. ineunte ita quidem legitur: Φίλον πάλαι Θεῷ, καθάπερ ἐπί τινος ἀρχαίας εἰκόνος σκιαγραφεῖν τὰ νεκρὰ τῆς χάριτος κατορθώματα. νεκρὰ, pessima lectio. lege, ex antitheto, γεαρὰ vel νοερὰ, hoc sensu: *pridem amavit Deus, tanquam in primordiali quadam imagine, adumbrata pingere nova sive spiritualia gratiae munera.* [Intelligitur munus sacerdotale Judaeorum. Nam χάριν saepius appellat Chrysostomus tempora Novi foederis, eamque legi opponit. Ita T. II, p. 686. sibi opponuntur: διαθήκη παλαιὰ et χάρις. T. X, p. 328. B. μετὰ νόμον καὶ χάριν. cf. Pauli Ep. ad Rom. VI, 14. *Matthaei* l. l. ad Homil. I, 108. *L.*]

5) κώδωνες. Hesychius: κώδων· σάλπιγξ, ἠχεῖον, κύμβαλον. Plutarch. Sympos. IV, 5. de summo sacerdote Judaeorum: κώδωνες πολλοὶ καταχρέμανται τῆς ἐσθῆτος, ὑποκομποῦντες ἐν τῷ βαδίζειν. [Apud profanos scriptores varias habet notiones v. κώδων. Schol. Soph. ad Ajac. v. 17. κώδων καλεῖται τὸ πλατὺ τῆς σάλπιγγος· ἀπὸ μέρους δὲ τὴν σάλπιγγά φησι. Cf. *Casp. Bartholinus de tibiis veterum.* III, 7. Nostro tamen in loco κώδωνες sunt *tintinnabula*, ornatus summi sacerdotis. Exod. XXVIII, 33. seqq. Septuaginta quinque tintinnabula ex auro facta summus sacerdos una cum totidem malis granatis (ῥοΐσκοις) gerebat in fimbria tunicae talaris. *L.*]

6) οἱ ῥοΐσκοι. Ῥοὰ et ῥοιὰ, malum granatum. Inde hoc diminutivum. *Malogranata*, vetus interpres.

7) οἱ τοῦ στήθους. Palatinus, οἱ ἐπὶ τοῦ στήθους. Chrysostomus quum τὰ σεμνὰ V. T. tam studiose enumerans, lapides potius quam rationale judicii nominat, neque aliam de Vrim et thummim facit mentionem; ostendit, se lapides ipsos pro Vrim et thummim habuisse. Conf. Hom. 4. in Jud. ed. Hoesch. p. 153. Eam sententiam defendit, plurimosque ejus defensores, sed et aliter existimantes alios enumerat *G. G. Dietericus* in Duodenario sacro de Vrim et thummim. Spenceri hac de re librum contraxit et refutavit *Carpzovius* ad Schick. Jus reg. p. 30—47. Adde *Clerici* Comm. et *Witsii* Aegyptiaca, *Brauniumque*, qui ex professo de Vestitu pontif. Hebr. egit. [οἱ τοῦ στήθους erant duodecim lapides, in quibus insculpta erant nomina duodecim filiorum Jacobi (vid. *Ritter* l. l. p. 242.). *Braunius de vestitu Sacerdot. Hebr.* L. II, c. 20. putat, illos ipsos lapides pretiosos nomine Urim et Thummim insigniri. (Cf. *Rosenmüller. Schol.* ad Exod. XXVIII, 30.) Refutatus est autem *Braunius* a *J. L. Saalschütz.* in dissertatione: *Prüfung der vorzüglichsten Ansichten von den Urim und Thummim.* quae exstat in libello: *Dritte Denkschrift der historisch-theolog. Gesellschaft. Herausgeg. von Christ. Friedr. Illgen.* Lips. 1824. *L.*]

δαρις, ὁ ποδήρης, τὸ πέταλον 9) *τὸ χρυσοῦν, τὰ ἅγια τῶν*
ἁγίων, 10) *ἡ πολλὴ τῶν ἔνδον ἠρεμία· ἀλλ' εἴ τις τὰ τῆς*
χάριτος ἐξετάσειε, μικρὰ ὄντα εὑρήσει τὰ φοβερὰ καὶ φρικω-
δέστατα ἐκεῖνα, καὶ τὸ περὶ τοῦ νόμου λεχθὲν 11) *κἀνταῦθα*
ἀληθὲς ὄν, ὅτι οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ
μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. Ὅταν γὰρ ἴδῃς τὸν 177
Κύριον τεθυμένον 12) *καὶ κείμενον,* 13) *καὶ τὸν ἱερέα ἐφεστῶ-*

---

8) *οἱ τῆς ἐπωμίδος.* Haec Hieronymo dicitur *superhumerale.* Adde Hesych. in *Ἐφούδ.* [*ἡ ἐπωμὶς* Hebr. vocabatur אֵפֹד et habemus hujus vestis sacerdotalis descriptionem Exod. XXVIII, 6—9. Cf. *Braunius* l. l. II, c. 6. et *Saalschütz.* in dissertatione paulo ante a me laudata pag. 41 seqq. *L.*]

9) *τὸ πέταλον.* *Ἡ κίδαρις* erat tiara summi pontificis; *τὸ πέταλον*, lamina aurea. *ἡ μίτρα* poterat hoc loco dici, quam LXX. Int. *ζώνην* dicunt, aliter in hac enumeratione a Chrysostomo praeteritam. namque *μίτρα* pro corporis quoque cingulo dicitur. Sed tamen etiam in capite *μίτρα* erat, quae נזר dicitur, constabatque ex lamina illa aurea et filo, cui illa immittebatur, hyacinthino. Ex. 28, 36. 37. 29, 6. quae causa esse videtur, cur LXX. int. מצנפת modo *κίδαριν*, modo *μίτραν*, modo *μίτραν καὶ κίδαριν* redderent. Quare *στέφανος χρυσοῦς ἐπάνω κιδάρεως* Sir. 45, 14. dicitur lamina, non per se, sed cum filo sive vitta caput circumiens. Confer *Gataker.* Posth. c. 24. [*ἡ μίτρα* vocatur נֵזֶר Exod. XXIX, 6. et erat filum hyacinthinum, cui alligatum erat *τὸ πέταλον χρυσοῦν*, in quo legebantur verba קֹדֶשׁ לַיהוָה Cf. Exod. XXVIII, 36. 37. *ἡ κίδαρις* erat tiara summi pontificis מִצְנֶפֶת dicta. vid. *Ritter.* l. l. p. 243. Constabat illa cidaris ex fascia sedecim ulnarum, qua caput variis spiris et involucris involvi solebat. Qua ratione illa obvolutio facta sit, exponunt *Braunius* l. l. II, §. 387 sqq. et *Wichmannshausen* in Dissert. *de Tiara summi sacerdotis.* §. 18. — *ὁ ποδήρης* erat vestis illa superaria, quam gestabat sacerdos summus sub Ephodo. Habes hujus vestis descriptionem Exod. XXVIII, 32—34. Cf. Joseph. Archaeol. III, 7. *L.*]

10) *ἅγια ἁγίων.* Tertia erat templi a Salomone aedificati pars ab aulaeo secreta atque sejuncta, quod est notissimum. Verba *ἅγια ἁγίων* ad formam loquendi Hebraicam esse conformata recte docuerunt *Joh. Vorst. Philol. Sacr.* c. 12. p. 329. Lips. *Reland.* ad Joseph. Antiq. III, 6, 4., quo in loco hanc templi partem eleganter vocat Josephus *τὸ ἄδυτον*, et cum eo Zonaras Ann. I, 16. *L.*

11) *λεχθέν.* Vid. 2. Cor. 3, 10. *L.*

12) *τεθυμένον.* Quae de sanctissimo mysterio §. 177—180. et 519—523. exstant, ea et inter se conferri possunt, et ex *Chrysostomi*, quae appellatur, *Liturgia* illustrari: cujus parellelismo, adjectis editionis Morellianae et Wustianae foliis, subsequentes notas auximus. unde dispalescat, hanc Liturgiam, dialogi verbis tam exacte respondentem, minime longe abisse ab illa, quae Johanne adolescente viguit, Liturgia. Primum, de *θυσίας sacrificii* appellatione, qua tam frequenter insignita est S. Coena, *rationes*, inquit Suicerus, *tres praecipuae sunt. α. quia in ea erat collatio et oblatio eleemosynarum, panis, vini etc. quae sunt spirituale sacrificium, ex*

τα [14]) τῷ θύματι καὶ ἐπευχόμενον, καὶ πάντας [15]) ἐκείνῳ τῷ τιμίῳ φοινισσομένους [16]) αἵματι· ἆρα ἔτι μετὰ ἀνθρώπων εἶ-

---

quibus symbola ipsa in Eucharistiae communione desumta fuerunt, et eleemosynae in pauperes collatae. β. Metonymice, quia est repraesentatio sacrificii in cruce oblati: atque hinc ἀναίμακτος *vocatur* θυσία, *sacrificium incruentum, quia* ἔναιμον θυσίαν *repraesentat. γ. rursus per metonymiam, quia est commemoratio sacrificii a Christo in cruce semel oblati* etc. Vid. Thes. eccl. B. 1. col. 1422 s. vel Observ. sacr. p. 97 s. Quod ad oblationem illam attinet, ipso Liturgiae initio δώρων τιμίων, δώρων προκειμένων adhibetur appellatio. f. 535 C. 536 A. 539 A. 540 D. Quod ad repraesentationem et commemorationem, ita orant fideles: ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ τοῦ λαοῦ σου. f. 533 A. et λειτουργικὴ καὶ ἀναίμακτος θυσία haec dicitur f. 534 B. oratque sacerdos: διὰ τοῦτό σοι προσφέρομεν τὴν λογικὴν ταύτην λατρείαν καὶ ἀναίμακτον. f. 539 A. Congruit Homil. 21. in Act. τοῦ δεσπότου παρόντος, τοῦ ΘΑΝΑΤΟΥ ΕΠΙΤΕΛΟΥΜΕΝΟΥ ἐκείνου, τῆς φρικτῆς θυσίας κτλ. ΚΑΤΑΓΓΕΛΛΕΤΑΙ τότε τὸ μυστήριον τὸ φρικτόν. Hoc etiam celebre: τί οὖν; ἡμεῖς καθ᾽ ἑκάστην ἡμέραν οὐ προσφέρομεν; προσφέρομεν μὲν, Ἀλλ᾽ ἀνάμνησιν ποιούμενοι τοῦ θανάτου αὐτοῦ. κτλ. οὐκ ἄλλην θυσίαν, καθάπερ ὁ ἀρχιερεὺς τότε, ἀλλὰ τὴν αὐτὴν ἀεὶ ποιοῦμεν, ΜΑΛΛΟΝ δὲ ἀνάμνησιν ἐργαζόμεθα θυσίας. Hom. 17. Hebr. Neque alterum ab uno illo in cruce peracto sacrificium agnoscit Hom. in Ps. 95: ἔστι μὲν οὖν θυσία καθαρὰ πρώτη μὲν ἡ μυστικὴ τράπεζα, τὸ οὐράνιον, τὸ ὑπερκόσμιον θῦμα — τὸ νοερὸν ἐκεῖνο καὶ μυστικὸν δῶρον, ΠΕΡΙ ΟΥ φησιν ὁ Παῦλος· ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν ἑαυτὸν κτλ. Porro idcirco etiam *sacrificii* nomen S. Coenae convenit, quod in ea gratiarum actiones offerantur, θυσία αἰνέσεως, Lit. 537 B. et preces, eaeque hujusmodi, per quas Christum semel per se oblatum Patri non offerimus quidem (nam unius Christi erat, non solum offerri, sed etiam offerre, et unam offerre se victimam, uno tempore, una oblatione, cum qua conjunctus fuit aditus ad Patrem: quo aditu peracto, nunc vel propterea, quia cum Patre est, Patri offerri non potest) sed quasi per nutum fiduciae plenum delegant, tanquam τὸν ἱλασμόν. immo tota illa actio, quum id, quod Christus nos jussit sumere, ideo sumimus, quia jussit, non minus sustinet, quam omnis obedientia fidei, Sacrificii appellationem. Ceteroqui norant veteres, notat Chrysostomus, proprias esse nostras in coena Dominica partes non offerendi, sed sumendi. nam (1) in ipsa media Liturgiae functione adhibetur verbum προσφέρειν et ἀναφέρειν, cujus verbi latior est significatus, non verbum θύειν. et quod h. l. τεθυμένος καὶ θῦμα ὁ Κύριος dicitur, id fit diu ante consecrationem; sicut Diaconus ineunte Liturgia ait: θῦσον, δέσποτα, τὸν ἀμνόν. f. 523 C. Unde etiam ipsum illud, καὶ κείμενον, h. l. subsequitur: precesque pro superventu gratiae postea fiunt. §. 179. (2) eo ipso tempore, cum id fit, quod Christus facere jussit, Corpus et sanguis ejus non est προσφορὰ ἡμῶν, sed δωρεὰ Θεοῦ. Lit. f. 543 D. Quare (3) apostolicam *mensae* appellationem non nisi spisse tardeque vicit *altaris* vocabulum.

13) καὶ κείμενον. Aperte hoc respicit προκείμενα δῶρα illa. Sic Hom. 41. in 1. Cor. τὸ κοινὸν τῆς οἰκουμένης ΚΕΙΤΑΙ καθάρσιον.

14) ἐφεστῶτα. *superstantem*, quod est verbum sacrificiale Maroni.

ναι νομίζεις καὶ ἐπὶ γῆς ἑστάναι, ἀλλ' οὐκ εὐθέως ἐπὶ τοὺς οὐρανοὺς μεθίστασαι, καὶ πᾶσαν σαρκικὴν διάνοιαν τῆς ψυχῆς[17]) ἐκβαλὼν γυμνῇ τῇ ψυχῇ καὶ τῷ νῷ καθαρῷ[18]) περιβλέπεις τὰ ἐν οὐρανοῖς; Ὢ τοῦ θαύματος! ὢ τῆς τοῦ Θεοῦ φιλανθρωπίας! ὁ μετὰ τοῦ Πατρὸς[19]) ἄνω καθήμενος, κατὰ τὴν ὥραν ἐκείνην ταῖς ἁπάντων κατέχεται χερσί,[20]) καὶ δίδω-

---

15) *πάντας.* Calix tum datus omnibus. Lit. f. 544 A: ὁ ἱερεὺς δεικνύει τὸ ποτήριον τῷ λαῷ, λέγων· — προσέλθετε. Adde Hom. 33. in Matth.

16) *φοινισσομένους.* *russatos*, propter aspersionem spiritualem. Vel hinc patet, non nimis premenda esse hujus loci verba. [*φοινισσομένους.* Intelligit hoc *Bengel.* de adspersione spirituali. Rectius fortassis ait *Ritter.* l. l. p. 243. „*Der Verfasser scheint hier die Sitte seiner Zeit im Auge zu haben, wo man nach dem Empfange des Kelches die Feuchtigkeit, welche auf den Lippen zurückblieb, mit den Händen berührte, und damit die Stirn, die Augen und die andern Sinne heiligte.*" Cf. Cyrill. Hieros. Catech. mystag. V, 518. *L.*]

17) *τῆς ψυχῆς.* Omittit Erasmus et Augustanus; ortum fortasse e proximo, τῇ ψυχῇ.

18) *γυμνῇ τῇ ψυχῇ καὶ τῷ νῷ καθαρῷ.* Differentiam harum vocum praeclare passim demonstrat *Maximus*, potissimum Centur. 1. περὶ ἀγάπης cap. 33 seq. νοῦς ἐστι καθαρὸς, ὁ ἀγνοίας χωρισθεὶς, καὶ ὑπὸ τοῦ θείου φωτὸς καταλαμπόμενος. ψυχή ἐστι καθαρὰ, ἡ παθῶν ἐλευθερωθεῖσα καὶ ὑπὸ τῆς θείας ἀγάπης ἀδιαλείπτως εὐφραινομένη. adde Centur. 4. ς. 46. Hierocles: αἱ ἀρεταὶ ἀπὸ νοῦ εἰς ψυχὴν λογικὴν ἐλλάμπονται.

19) *ὁ μετὰ τοῦ Πατρὸς ἄνω καθήμενος.* Ὁ ἄνω τῷ Πατρὶ συγκαθεζόμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών. Lit. f. 542 D.

20) *χερσί.* De corpore Dominico id praedicat auctor, quod competit pani: ut Lit. f. 543 A: μέλλων (ὁ ἱερεὺς τὸν ἄρτον) μελίσαι λέγει· μελίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ. Cujusmodi permutatio frequens est: multaque ex Chrysostomo collegit *Joh. Vorstius* in Diss. sacris passim. Ipso Liturgiae initio panis et vinum appellatur Corpus et sanguis: f. 535 A. coll. f. 524 A. et rursum post solennem consecrationem panis dicitur. f. 542 E. Saepe ejusmodi est de S. Coena sermo veterum, ut putes eos veram ipsius Corporis et sanguinis dominici praesentiam negasse: rursus iidem illi saepe ita loquuntur, ut videri possint Transsubstantiationem agnovisse; ut illustri exemplo in Cyrillo Hier. demonstravit Celeb. Cancellarius Tubingensis in Diss. adv. Touttaeum. Confer Liturg. f. 539 A. f. 542 D. Quae nemo inter se vere conciliabit, nisi qui sententiam eorum, ut diximus, mediam fuisse statuerit: quamquam eam ad formulas loquendi postea natas haud facile redigi posse cordati Theologi confitentur. Itaque quae Tridentini a Reformatis, et Reformati a Tridentinis testimonia patrum vindicant, ea omnia Confessio nostra lucrifacit. Exemplo esse potest ipse Chrysostomus noster, quem et *Bellarminus* et *Mornaeus* suum fecit: et hic ipse potissimum Chrysostomi locus, quem et *Steph. Gardinerus* et contra eum *P. Martyr* T. II. LL. CC. col. 161. 817. 1043. suarum partium esse contendit. De quo satis erit illam notasse Martyris clausulam: *In illis omnibus, quae Chrysostomus tam hyperbolice in Eucharistia admi-*

σιν αὐτὸν[21]) τοῖς βουλομένοις[22]) περιπτύξασθαι καὶ περιλαβεῖν, ποιοῦσι δὲ τοῦτο πάντες[23]) διὰ τῶν ὀφθαλμῶν τότε.

---

ratur, ne verbulum quidem unum exstare de Transsubstantiatione aut de conversione panis et vini: quae tamen si credidisset, quibus obsecro verbis, quibus figuris et coloribus amplificasset. Unum addimus ex Chemnitio: *Usitatissima est*, inquit, *vetustis scriptoribus similitudo, qua inter se conferunt eucharistiam, quae duabus rebus constat, et unionem duarum naturarum in persona Christi. et quidem in certamine contra Apollinarem et Eutychem* Chrysostomus, *Theodoretus et Gelasius, ex sacramento eucharistiae probant, humanam naturam in Christo per unionem non esse absorptam* etc. E. C. T. P. 2. f. 89. Omnino controversiam illam, qua pridem disceptatum est, quid de eucharistia crediderit Chrysostomus, terminare debuerat πολυθρυλλήτου illius Epistolae ad Caesarium gravior sermone cujusvis *Homiliae* figurato locus. *Sicut enim*, inquit, *antequam sanctificetur panis, panem nominamus; divina autem illum sanctificante GRATIA, mediante sacerdote, liberatus est quidem appellatione panis, dignus autem habitus est Dominici corporis appellatione*, εἰ καὶ ἡ φύσις ἄρτου ἐν αὐτῷ ἐνέμεινε, *etiamsi natura panis in ipso permansit, et non duo corpora, sed unum corpus Filii praedicatur: sic et hic divina* ἐνιδρυσάσης i. e. inundante (leg. *insidente*) *corpori natura, unum Filium, unam personam, utraque fecerunt; agnoscendum tamen, inconfusam et indivisibilem rationem, non in una solum natura, sed in duabus perfectis.* Confer *Buddeum* in Inst. Theol. dogm. p. 1587 s. Ipsam epistolam cum ejus historia exhibere, et γνησιότητα juxta atque interpretationem vindicare dissertationibus aliquot instituit Lipsiae novissime, politissimus *M. Jo. Erh. Kappius.* Unum, quod ad γνησιότητα pertinet, nos observamus: quum scripta sit epistola a Chrysostomo μετὰ τὴν δευτέραν αὐτοῦ ἐξορίαν (ut viri docti ex ms. Codd. Nicephori confirmant) *post alterum ejus exilium*; quo tempore plura illius scripta jam exierant: minus esse mirandum, cur ea epistola aegre in volumina pervenerit. — Sanctam cibum manu primum, deinde ore, illis temporibus sumere solebant. Vid. *Suiceri* Thes. P. 2. col. 1117 seq. in Σύναξις, ubi de toto hoc capite copiosissime, et *H. Scharbau* Parerga Phil. Theol. P. IV. p. 157 ss.

21) *δίδωσιν αὐτόν.* Κατεδίωξα (ἐγὼ ὁ χριστός) καὶ ἐπέδραμον, ἵνα σὲ κατάσχω. — συνυφαίνομαί σοι· οὐ βούλομαι λοιπὸν εἶναί τι μέσον, ἓν εἶναι βούλομαι τὰ ἀμφότερα. Chrysost. Σωματοποιεῖ γὰρ ἑαυτὸν καὶ εἰς βρῶσιν καὶ πόσιν ὁ κύριος κτλ. Macarius homil. 4. *Hoeschelius.*

22) *τοῖς βουλομένοις.* Πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ μεταλαμβάνουσι τοῦ παντὸς ἐνιαυτοῦ, ἄλλοι δὲ δὶς, ἄλλοι δὲ πολλάκις. — ἐκεῖνοι (οἱ ἐν τῇ ἐρήμῳ) ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν. Homil. 17. Hebr.

23) *ποιοῦσι δὲ τοῦτο πάντες διὰ τῶν ὀφθαλμῶν τότε.* Vide Just. Martyris Apologiam II. pro Christianis p. 76. v. 46. Epiphanii λόγον ἀγκύρωτον p. 563. 492. 531. *Hoeschelius.* Primus in editione Augustana D. Hoeschelius ex Cod. Palatino post vocem ὀφθαλμῶν adjecit τῆς πίστεως, cui et regis Henrici II. unus calamo exaratus suffragatur: minus tamen conveniunt ista cum verbo ποιοῦσι, quam cum eo, quod exhibet Francisci I. liber, hoc modo, βλέπουσι δὲ τοῦτο τότε πάντες διὰ τῶν ὀφθαλμῶν, jam si adjungas ex H. et P. τῆς πίστεως, haec sententia consurget, *complecti, hoc*

ἀρά σοι τοῦ καταφρονεῖσθαι ταῦτα ἄξια καταφαίνεται, ἢ τοιαῦτα εἶναι, ὥς δυνηθῆναί τινα καὶ ἐπαρθῆναι κατ᾽ αὐτῶν; Βούλει καὶ ἐξ ἑτέρου θαύματος τῆς ἁγιαστίας [24]) ταύτης ἰδεῖν 178
τὴν ὑπερβολήν; ὑπόγραψόν μοι τὸν Ἠλίαν τοῖς ὀφθαλμοῖς, [25])

---

autem omnes tum per oculos fidei cernunt. Sic enim loqui solet Chrysostomus de sanctissimo eucharistiae sacramento verba faciens, ut Homil. 83. in Matth. *καὶ πειθώμεθα καὶ πιστεύωμεν, καὶ νοητοῖς αὐτὸ βλέπωμεν ὀφθαλμοῖς.* in Homil. 57. hortatur, ut cum fide accedamus: *προσερχώμεθα τοίνυν μετὰ πίστεως ἕκαστος ἀσθένειαν ἔχων.* *Fr. Ducaeus.* Palatinum illum codicem perpetuo deprehendi a ceterorum constanti testimonio nimis libere discedere, Henricianumque ei maxime gemellum esse. Maneat ergo primae editionis lectio, *ποιοῦσι δὲ τοῦτο πάντες διὰ τῶν ὀφθαλμῶν.* nam etiam vetus interpres, *fitque hoc totum sub oculis humanis.* *τότε* eo quo nos loco Augustanus, alibi alii codices addunt, *τῆς πίστεως* ignorant. Refertur autem *ποιοῦσι τοῦτο* ad *περιπτύξασθαι καὶ περιλαβεῖν.* unde plane concinnus apparet parallelismus: *ἁπάντων*: *πάντες.* et, *κατὰ τὴν ὥραν ἐκείνην*: *τότε.* et, *κατέχεται, χερσὶν δίδωσιν αὐτὸν περιπτύξασθαι καὶ περιλαβεῖν*, *διὰ τῶν ὀφθαλμῶν.* Manum oculorumque mentio facit ad amplificandum, ut apud Tullium pro Cluent. *Quum manifeste venenum deprehendisset, et res non conjectura, sed* oculis ac manibus *teneretur.* Ac valde frequenter auctores idonei ut *manibus visum* caecitatemve adscribunt, v. gr. Basilius Sel. Or. 36. de caecis loquens: *χεῖρες τῷ βλέμματι συντυφλούμεναι*, ad quem plura collegit Dausqueius, ex Plauto, Seneca Tragico, Lucano: sic vicissim *oculis tactum.* Macarius: *πνευματικὰ καὶ ὀφθαλμοῖς τοῖς σαρκικοῖς ἄψαυστα.* de charit. c. 13. Heliodorus: *θάλατταν ὀφθαλμοῖς ἐπέρχεσθαι*, Lucretius: *prendere oculorum lumine.* Gellius: *oculis contingere.* Tertullianus Apologet. c. 40. de Christianis: *invidia coelum tundimus, Deum tangimus.* ubi *invidia*, ut alibi quoque eidem, est *ἀτενισμός.* hanc enim *Junius* explicationem suam in Notis confirmat, etiam antitheto nixam: *nubila* (vos, gentes) *de laquearibus exspectatis*, aversi *ab ipso et Deo et coelo.* Paria ex Ovidio, Tacito, Lactantio, Augustino, Gregorio Naz. collegit Cel. *Heumannus* in Parerg. crit. p. 147 s. Ergo et *manus*, non *fidei manus*, et *oculos*, non *fidei oculos* auctor dicit, eodem modo. *Cantabrigienses* locum sic exhibent: *βλέπουσι δὲ τοῦτο πάντες διὰ τῶν ὀφθαλμῶν τῆς πίστεως*, eumque in notis edit. secundae adversus Romanenses et Evangelicos urgent, plaudente *M. de la Roche* in Ephem. lit. A. 1712. qui addit, hujus loci *rhetoricum quodammodo esse sermonem, cui tanta moles non debeat superstrui.* Omnino verba (sive *τῆς πίστεως* legas sive dispungas) ejusmodi sunt, quae quilibet pro suo dogmate interpretari possit: sed quae Chrysostomi mens fuerit, paulo superius cognovimus. Nam ne proxima quidem verba, *ἴδῃς κτλ.* aut plus aut minus significant, quam illa aliorum patrum, *ἀναδεῖξαι*, *ἀναφανῆναι*, et similia, in eodem mysterio.

24) *ἁγιαστίας.* Augustanus, *ἁγιστείας.* recte utrumque. *Hoeschelius.*

25) *ὑπογράφειν τοῖς ὀφθαλμοῖς.* *Pingere ante oculos.* Amat hoc sensu verbum *ὑπογράφειν* Chrysostomus. Cf. T. I, p. 254 D. *ὑπέγραψας τὸν χαρακτῆρα.* T. III, p. 292 C. *τὸν χαρακτῆρα ἀκριβῶς ἡμῖν ὑπογράφουσιν.* Vid. *Matthaei.* l. l. Homil, II, 26. T. I, p. 76 a. *L.*

καὶ τὸν ἄπειρον ὄχλον περιεστῶτα, καὶ τὴν θυσίαν ἐπὶ τῶν λίθων κειμένην, [26]) καὶ πάντας μὲν ἐν ἡσυχίᾳ τοὺς λοιποὺς καὶ πολλῇ τῇ σιγῇ, μόνον δὲ τὸν προφήτην εὐχόμενον· εἶτα ἐξαίφνης τὴν φλόγα ἐκ τῶν οὐρανῶν ἐπὶ τὸ ἱερεῖον ῥιπτου-
179 μένην. θαυμαστὰ ταῦτα καὶ πάσης ἐκπλήξεως γέμοντα. μετάβηθι τοίνυν ἐκεῖθεν ἐπὶ τὰ νῦν τελούμενα, καὶ οὐ θαυμαστὰ ὄψει μόνον, ἀλλὰ καὶ πᾶσαν ἔκπληξιν ὑπερβαίνοντα. Ἕστηκε γὰρ ὁ ἱερεὺς, οὐ πῦρ καταφέρων, ἀλλὰ τὸ Πνεῦμα [27]) τὸ ἅγιον· καὶ τὴν ἱκετηρίαν ἐπὶ πολὺ [28]) ποιεῖται, οὐχ ἵνα τὶς λαμπὰς ἄνωθεν ἀφθεῖσα [29]) καταναλώσῃ τὰ προκείμενα, ἀλλ' ἵνα ἡ χάρις ἐπιπεσοῦσα τῇ θυσίᾳ, δι' ἐκείνης [30]) τὰς ἁπάντων ἀνάψῃ ψυχὰς, καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πε-
180 πυρωμένου. Ταύτης οὖν τῆς φρικωδεστάτης τελετῆς, τίς μὴ σφόδρα [31]) μαινόμενος μηδὲ ἐξεστηκὼς, ὑπερφρονῆσαι δυνήσεται; ἢ ἀγνοεῖς, ὅτι οὐκ ἄν ποτε ἀνθρωπίνη ψυχὴ τὸ πῦρ ἐκεῖνο τῆς θυσίας ἐβάστασεν, ἀλλ' ἄρδην ἂν ἅπαντες ἠφανίσθησαν, εἰ μὴ πολλὴ τῆς τοῦ Θεοῦ χάριτος ἦν ἡ βοήθεια;

181 V. Εἰ γάρ τις ἐννοήσειεν, ὅσον ἐστὶν, ἄνθρωπον ὄντα καὶ ἔτι σαρκὶ καὶ αἵματι πεπλεγμένον, [1]) τῆς μακαρίας καὶ

---

26) *θυσίαν — κειμένην.* Res enarratur 1 Reg. XVIII. *L.*

27) *τὸ πνεῦμα τὸ ἅγιον· ἡ χάρις.* In Liturgia sic orabant: *Καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαί σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.* f. 536 A. Aliis interjectis diaconus dicebat: *ὑπὲρ τῶν προσκομισθέντων τιμίων δώρων τοῦ κυρίου δεηθῶμεν, ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν θυσιαστήριον αὐτοῦ, ἀντικαταπέμψῃ καὶ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος.* f. 540 E. Adde Not. ad §. 519.

28) *ἐπὶ πολύ.* Id testatur Liturgia.

29) *ἀφθεῖσα.* Sic; non *ἀφθεῖσα*, ne aspiratae concurrant. [Scribendum opinor *ἀφεθεῖσα*, quod placet etiam *Hasselbachio*, quamvis et altera illa lectio *ἄνωθεν ἀφθεῖσα* habeat, quo defendi possit. *L.*]

30) *δι' ἐκείνης.* sc. *θυσίας.*

31) *σφόδρα.* Omittit Er. et Aug.

1) *μακαρίας καὶ ἀκηράτου.* Parallela. Nam et hoc ex *κὴρ factum* est, et illud indidem esse, ut denotet *ἀθάνατον*, docet Helladius Besantinous apud Photium. Non dispari notione patres appellant Deum *τὸν κρείττονα*, ut suos *οἱ ἔξω τοὺς κρείττονας.* [*αἵματι πεπλεγμένον. Hasselbach.* conjecit *περιπλεγμένον.* Quae causae ad hanc lectionem Virum Doctum perduxerint, ignoro, ideoque nihil mutare ausus sum. *L.*]

ἀκηράτου [2]) φύσεως ἐκείνης ἐγγὺς δυνηθῆναι γενέσθαι· τότε
ὄψεται καλῶς, ὅσης τοὺς ἱερεῖς τιμῆς ἡ τοῦ πνεύματος ἠξίω-
σεν χάρις. Διὰ γὰρ ἐκείνων καὶ ταῦτα τελεῖται, καὶ ἕτερα
τούτων οὐδὲν ἀποδέοντα, καὶ εἰς ἀξιώματος καὶ εἰς σωτηρίας
τῆς ἡμετέρας λόγον. [3]) Οἱ γὰρ τὴν γῆν οἰκοῦντες καὶ ἐν 182
ταύτῃ ποιούμενοι τὴν διατριβὴν, τὰ ἐν οὐρανοῖς διοικεῖν ἐπε-
τράπησαν, [4]) καὶ ἐξουσίαν ἔλαβον, ἣν οὔτε ἀγγέλοις οὔτε ἀρχ-
αγγέλοις ἔδωκεν ὁ Θεός. Οὐ γὰρ πρὸς ἐκείνους εἴρηται· Ὅσα
ἂν [5]) δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ ἐν τῷ οὐρανῷ·
καὶ ὅσα ἂν λύσητε, ἔσται λελυμένα. Ἔχουσι μὲν γὰρ καὶ οἱ 183
κρατοῦντες ἐπὶ τῆς γῆς τὴν τοῦ δεσμεῖν [6]) ἐξουσίαν, [7]) ἀλλὰ
σωμάτων μόνον· οὗτος δὲ ὁ δεσμὸς αὐτῆς ἅπτεται τῆς ψυχῆς,
καὶ διαβαίνει τοὺς οὐρανοὺς, καὶ ἅπερ ἂν ἐργάσωνται κάτω οἱ
ἱερεῖς, ταῦτα ὁ Θεὸς ἄνω κυροῖ, [8]) καὶ τὴν τῶν δούλων γνώ-
μην ὁ Δεσπότης βεβαιοῖ. Καὶ τί γὰρ ἀλλ' ἢ πᾶσαν αὐτοῖς 184
τὴν οὐράνιον ἔδωκεν ἐξουσίαν; ὧν γὰρ δή [9]) φησιν ἀφῆτε τὰς
ἁμαρτίας, ἀφέωνται· καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται. Τίς
ἂν γένοιτο ταύτης ἐξουσία μείζων; πᾶσαν τὴν κρίσιν ἔδωκεν

---

2) *ἀκήρατος*. Favorinus: *αἰώνιος, ἄφθαρτος*. Suidas: *ἀκήρατον· ἄφθαρτον, ἀθάνατον*. Cf. *Fischer*. Ind. Aesch. Socrat. h. v. *L.*

3) *εἰς λόγον*. Sic, *εἰς δύναμιν*. §. 164.

4) *ἐπετράπησαν*. Vet. int. *meruerunt*. notione tum frequenti.

5) *ὅσα ἂν* etc. Matth. XVIII, 18. *L.*

6) *τοῦ δεσμεῖν*. Male ita legitur in editionibus, et ob sequens *σωμάτων*, quod a verbo *δεσμεῖν* pendere non posse, quilibet videt, et ob verba sequentia *οὗτος ὁ δεσμός*. Rectius legit *Hasselbachius* *τοῦ δεσμοῦ*, quae lectio digna sane, quae in textum recipiatur. *L.*

6) *ἐξουσίαν*. *Joh. Henichius* H. E. Part. II. in Appendice supra laudata, p. 773. sic ait: *De Sacerdotio Chrysostomus sex libros scripsit, ex quibus conantur probare Pontificii, Chrysostoma arrisisse sententiam, quae in arbitrio sacerdotum jus totum vel retinendi vel dimittendi peccata ponit, eoque ipsi Christo, quatenus homo, aequat. Contra eos* Is. Casaubonus *Ex. XVI. num.* 130. *ita disserit: Error Baronii et aliorum in eo est, quod neglectis tot aliis locis, ubi suam sententiam clare et perspicue Chrysostomus aperit, nonnulla urgent in libris de Sacerdotio, et tanquam simpliciter dicta accipiunt, quae sanctus ille vir dixit οἰκονομικῶς.* Cetera vide apud Henichium ipsumve Casaubonum.

8) *ἄνω κυροῖ*. Hom. 5. in Jesa. VI. Ὁ τῆς ἱερωσύνης θρόνος ἐν τοῖς οὐρανοῖς ἵδρυται – ἀπὸ τῆς γῆς τὴν ἀρχὴν τῆς κρίσεως λαμβάνει ὁ οὐρανός. κτλ.

9) *ὧν γὰρ δή*. August. et Montefalcon. habent. *ἄν*. [Cf. Joh. XX, 23. — *τῷ υἱῷ*. Vid. Joh. V, 22. *L.*]

ὁ πατὴρ τῷ υἱῷ· ὁρῶ δὲ [10]) πᾶσαν αὐτὴν τούτους ἐγχειρισθέντας [11]) ὑπὸ τοῦ υἱοῦ. ὥσπερ γὰρ εἰς οὐρανοὺς ἤδη μετατεθέντες, καὶ τὴν ἀνθρωπείαν ὑπερβάντες φύσιν καὶ τῶν ἡμετέρων ἀπαλλαγέντες παθῶν, οὕτως εἰς τοσαύτην ἤχθησαν
185 τὴν ἀρχήν. Εἶτα ἂν μὲν βασιλεύς τινι τῶν ὑπ' αὐτὸν ὄντων ταύτης μεταδῷ τῆς τιμῆς, ὥστε ἐμβάλλειν εἰς δεσμωτήριον, οὓς ἂν ἐθέλῃ, καὶ ἀφιέναι πάλιν, ζηλωτὸς καὶ περίβλεπτος παρὰ πᾶσιν οὗτος· [12]) ὁ δὲ παρὰ Θεοῦ τοσούτῳ μείζονα ἐξουσίαν λαβὼν, ὅσῳ γῆς τιμιώτερος οὐρανὸς καὶ σωμάτων ψυχαὶ, οὕτω μικράν τισιν ἔδοξεν εἰληφέναι τιμὴν, ὡς δυνηθῆναι κἂν ἐννοῆσαι, ὅτι τῶν [13]) ταῦτα πιστευθέντων τὶς καὶ ὑπερφρονήσει
186 τῆς δωρεᾶς. Ἄπαγε τῆς μανίας. μανία γὰρ περιφανὴς, ὑπερορᾶν τῆς τοσαύτης ἀρχῆς, [14]) ἧς ἄνευ οὔτε σωτηρίας, οὔτε
187 τῶν ἐπηγγελμένων ἡμῖν ἐστὶ τυχεῖν ἀγαθῶν. Εἰ γὰρ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐὰν μὴ δι' ὕδατος καὶ πνεύματος ἀναγεννηθῇ· [15]) καὶ ὁ μὴ τρώγων τὴν σάρκα τοῦ Κυρίου, καὶ τὸ αἷμα αὐτοῦ πίνων, ἐκβέβληται τῆς

---

10) *δέ.* *Ad*, vetus interpres, pro *at*, orthographia antiqua. sic idem ille alibi: *hac*, pro *ac*.

11) *τούτους ἐγχειρισθέντας.* Lucian. τὴν νομὴν τῶν χρεῶν ἐγχειρισθείς. κλ. *Thirlby*. Alii, τούτοις ἐγχειρισθεῖσαν. *Montef.* Recte utrumque. Conf. §. 88. 206. 349. [Retinui lectionem *Bengelii* tanquam exquisitiorem. De Constructione vide *Winer.* Gr. N. T. 3. Abschn. §. 25, 4. b. *Buttmann.* Gr. Gr. §. 121, 7. *L.*]

12) *οὗτος.* Mimesis. dicunt, HIC EST, digitoque monstrant.

13) *τῶν.* Hoc a *δωρεᾶς*, non a τὶς pendet.

14) *ἀρχῆς.* Satis amplificat suo serviens instituto Chrysostomus potestatem, quam ipse videlicet fugit, sacerdotum. quae et debent accipi sobrie, et poterunt, si adhibueris, quae *G. Arnoldus* aliique docent ab illo laudati in Theologia experim. cap. 25. §. 79 ss. Unum monemus: quae Chrysostomo toties *ἀρχὴ* dicitur, eam ab iis, a quibus geri coepta est, numquam *ἀρχὴν* dici. *Λειτουργία* dicitur et *διακονία*, qua videlicet non mortalibus servitur, sed Deo: quibus nominibus etiam civilis potestas cohonestatur. Rom. 13, 4. 6. Rursum vero, qui ecclesiam *pascunt* (quod ipsum etiam regale verbum est) dicuntur *προϊστάμενοι*, ib. c. 12, 8. *κυβερνήσεις*, 1. Cor. 12, 28. *ἡγούμενοι*, Hebr. 13, 17. *oeconomi*, non mediastini duntaxat, Tit. 1, 7. *legati*, 2. Cor. 5, 20. Joh. 20, 21. *ἄρχοντες* vel etiam *βασιλεῖς*, stilo poetico sacro, Ps. 68, 28. 15. et, quod maximum est, *ἄνθρωπος θεοῦ*. 2. Tim. 3, 17. Habent *ῥάβδον*, 1. Cor. 4, 21. *στρατείαν* et *ἐξουσίαν*, et possunt *ulcisci*, 2. Cor. 10, 4. 10. 6. *praecipere* atque *imperare*. Philem. v. 8. 1. Tim. 6, 17. Quin etiam ipsae admonitiones de cavendo potestatis abusu, potestatem indicant. 1. Thess. 2, 6. 1. Petr. 5, 3.

15) *ἀναγεννηθῇ.* Vid. Ev. Joh. III, 5. — *πίνων.* Joh. VI, 54. *L.*

αἰωνίου ζωῆς· πάντα δὲ ταῦτα δι᾽ ἑτέρου μὲν οὐδενὸς,[16] μόνον δὲ διὰ τῶν ἁγίων ἐκείνων ἐπιτελεῖται χειρῶν, τῶν τοῦ ἱερέως λέγω· πῶς ἄν τις τούτων ἐκτὸς ἢ τὸ τῆς γεέννης ἐκφυγεῖν δυνήσεται πῦρ, ἢ τῶν ἀποκειμένων στεφάνων τυχεῖν; Οὗτοι γάρ εἰσιν, οὗτοι οἱ τὰς πνευματικὰς πιστευθέντες ὠδῖ- 188
νας,[17] καὶ τὸν διὰ τοῦ βαπτίσματος ἐπιτραπέντες τόκον· διὰ τούτων ἐνδυόμεθα τὸν Χριστὸν καὶ συναπτόμεθα τῷ υἱῷ τοῦ Θεοῦ, μέλη γινόμεθα τῆς μακαρίας ἐκείνης κεφαλῆς· ὥστε 189
ἡμῖν οὐκ ἀρχόντων μόνον οὐδὲ βασιλέων[18] φοβερώτεροι, ἀλλὰ καὶ πατέρων[19] τιμιώτεροι δικαίως ἂν εἶεν. οἱ μὲν γὰρ ἐξ αἱ-

---

16) οὐδενός. Satis naviter, sed parum liquido Chrysostomus sacerdotii fines a potestate civili, a statu Christiani privati, vel etiam a donis extraordinariis disterminat hoc loco et §. 196. 216 etc. Omnino haec excessum sapiunt, qui jam tum erat notabilis: quem qui vident, utinam ne eorum ulli defectum cumulent citeriorum temporum. Nostrum non est docere, quibus partibus illa nostrave aetas eosdem fines plus minusve ex voluntate Domini et ex gubernatione Spiritus (haec enim norma est) regat. Si quem haec cura juris ecclesiastici tangit, *Pfaffium*, *Boehmerum*, *Seizium*, *Kromaierum* consulat expendatque. Dominus vineam ἐξέδοτο *tradidit* operariis omnium generum, usque ad diem rationis reddendae. quilibet ad quem pro temporibus, quibus res permissam se esse loquitur, devolutum est potestatis quidpiam; si sibi bene praeest, videt, ne jure magis quam officio fretus, sibi plaudens, aliis assentans, se ipsum et sua quaerat, coelumque terrae misceat; sed, dum ecclesiam curat, ipse vivum sit Christi membrum. Interea quicquid a sacerdote ceteri sibi vendicant; Chrysostomus, quod sibi proposuit, evincit, magnam esse sacerdotis ex divino munere dignitatem.

17) ὠδῖνας. Gravissima sententia, ex Gal. 4. vers. 19.

18) βασιλέων. Rhetoricum hunc esse censet excessum Scriptor *diarii Londinensis*. Idem tamen dicit noster, §. 165. plus etiam Ambrosius: *Honor et sublimitas episcopalis nullis poterit comparationibus adaequari. si regum fulgori compares et principum diademati; longe erit inferius, quam si plumbi metallum ad auri fulgorem compares.* lib. de dign. sacerd. c. 2. Conf. omnino Chrysost. Hom. 4. et 5. in Jesa. VI. Novem causas, cur regi sacerdos praestet, ex Chrysostomo studiosissimus ejus *Rittershusius*, et ex imitatore ejus Isidoro Pelusiota collegit l. 4. Sacr. lect. c. 19. Dignus jurisconsulto candor. unam, ecclesiae minister, rependam, cur rex sacerdoti praestet, novem illas facile vincentem: Deus est rex, non est sacerdos. Sed manet inter mortales sua regi, sua sacerdoti dignitas, etiam citra comparationem, quae non periculosa solum, sed etiam invidiosa est, cum facile vel inflari philavtia sacerdotis possit, vel regis offendi. Res spiritualiter dijudicata veritatem habet, Gal. 4, 14. 2. Cor. 10, 6. neque tamen non servi sanctorum sunt ministri Evangelici. 2. Cor. 4, 5.

19) πατέρων. Ambrosius l. c. *Ut multitudinem quoque plebejam jure tueatur patrio, praeceptis imperatum est evangelicis. Sic certa a Domino ad beatum Petrum dicitur: Petre amas me?* etc.

μάτων[20]) καὶ ἐκ θελήματος σαρκὸς ἐγέννησαν· οἱ δὲ τῆς ἐκ
τοῦ Θεοῦ γεννήσεως ἡμῖν εἰσιν αἴτιοι, τῆς μακαρίας παλιγγε-
νεσίας ἐκείνης, τῆς ἐλευθερίας τῆς ἀληθοῦς, καὶ τῆς κατὰ χά-
ριν υἱοθεσίας.
190 VI. Λέπραν[1]) σώματος ἀπαλλάττειν, μᾶλλον δὲ ἀπαλ-
λάττειν μὲν οὐδαμῶς, τοὺς δὲ ἀπαλλαγέντας δοκιμάζειν μόνον,
εἶχον ἐξουσίαν οἱ τῶν Ἰουδαίων ἱερεῖς· καὶ οἶσθα, πῶς περι-
μάχητον ἦν τὸ τῶν ἱερέων τότε. οὗτοι δὲ οὐ λέπραν σώμα-
τος, ἀλλ' ἀκαθαρσίαν ψυχῆς, οὐκ ἀπαλλαγεῖσαν δοκιμάζειν,
191 ἀλλ' ἀπαλλάττειν παντελῶς ἔλαβον ἐξουσίαν. Ὥστε οἱ τού-
των ὑπερορῶντες πολὺ καὶ τῶν περὶ Δαθὰν[2]) εἶεν ἐναγέστε-
ροι[3]) καὶ μείζονος ἄξιοι τιμωρίας. οἱ μὲν γὰρ εἰ καὶ μὴ προσ-
ηκούσης αὐτοῖς ἀντεποιοῦντο[4]) τῆς ἀρχῆς, ἀλλ' ὅμως θαυ-
μαστήν τινα περὶ αὐτῆς εἶχον δόξαν, καὶ τοῦτο τῷ μετὰ πολ-
λῆς ἐφίεσθαι σπουδῆς ἔδειξαν· οὗτοι δὲ ὅτε ἐπὶ τὸ κρεῖττον
διεκοσμήθη, καὶ τοσαύτην ἔλαβεν ἐπίδοσιν τὸ πρᾶγμα, τότε
ἐξ ἐναντίας μὲν ἐκείνοις, πολλῷ δὲ ἐκείνων μείζονα τετολμή-
192 κασιν. οὐδὲ γὰρ ἴσον εἰς καταφρονήσεως λόγον, ἐφίεσθαι μὴ
προσηκούσης τιμῆς καὶ ὑπερορᾶν· ἀλλὰ τοσούτῳ μεῖζον ἐκεί-
νου τοῦτο, ὅσῳ τοῦ διαπτύειν καὶ θαυμάζειν τὸ μέσον ἐστί.
193 Τίς οὖν οὕτως ἀθλία ψυχὴ, ὡς τοσούτων ὑπεριδεῖν ἀγαθῶν;
οὐκ ἄν ποτε φαίην ἐγὼ, πλὴν εἰ μή[5]) τις οἶστρον ὑπομεί-
194 νειε δαιμονικόν. Ἀλλὰ γὰρ ἐπάνειμι πάλιν, ὅθεν ἐξέβην. οὐ

---

20) ἐξ αἱμάτων. Joh. 1, 13. *ex sanguinibus*. Vulgatum enim hoc plurali utentem satis defendit *Voss*. l. 3. de Vitiis serm. c. 57. *αἱμάτων* etiam habes §. 76. 607.

1) λέπραν. De hoc praecepto vid. Levit. XIII. *L.*

2) οἱ περὶ Δαθάν. Dathanes ejusque socii. Cf. Xenoph. Anab. VII, 4, 12. *οἱ περὶ Ξενοφῶντα*. Hist. Gr. III, 4, 20. IV, 2, 8. De re vid. Numer. c. XVI. *L.*

3) ἐναγής. Derivatur hoc vocabulum ab ἄγος, piaculum et significat hominem *scelestum*. Cf. Tom. XII, p. 356 B. *γυνὴ καὶ πτωχὴ ἦν, καὶ ἐναγὴς, καὶ ἀλλόφυλος*. Sic T. I, p. 272 C. *βέβηλος καὶ ἐναγὴς* de re eadem habet Chrysostomus. Veteres Grammatici explicabant h. v. etiam per *σεβάσμιος*, qua de re cf. *Erfurdt* ad Soph. Oed. Tyr. v. 655. *L.*

4) ἀντεποιοῦντο, affectabant. Eodem significatu occurrit apud Xenoph. Anab. II, 1, 9. *τίς γὰρ αὐτῷ ἐστιν, ὅστις ἀρχῆς ἀντιποιεῖται;* Memorr. II, 1, 1. *ὅπως μὴ ἀντιποιήσεται ἀρχῆς*. Suidas *ἀντιποιούμενον· ἐπιμελῶς διακείμενον*. *L.*

5) πλὴν εἰ μή. *Πλὴν εἰ*. §. 159. 266. eodem sensu. [οἶστρος δαιμονικός, furor daemoniacus. Aelian. V. H. *οἶστρος βακχικός*. Cf. *Passow* in Lex. s. v. *οἶστρος*. *L.*]

γὰρ ἐν τῷ κολάζειν μόνον, ἀλλὰ καὶ ἐν τῷ ποιεῖν εὖ, μεί-
ζονα τοῖς ἱερεῦσιν 6) ἔδωκε δύναμιν τῶν φυσικῶν γονέων ὁ
Θεός· καὶ τοσοῦτον ἀμφοτέρων τὸ διάφορον, ὅσον τῆς παρ-
ούσης καὶ τῆς μελλούσης ζωῆς. Οἱ μὲν γὰρ εἰς ταύτην, οἱ 195
δὲ εἰς ἐκείνην γεννῶσι· κἀκεῖνοι μὲν οὐδὲ τὸν σωματικὸν αὐ-
τοῖς δύναιντ᾽ ἂν ἀμύνασθαι θάνατον, οὔτε νόσον ἐπενεχθεῖ-
σαν ἀποκρούσασθαι· οὗτοι δὲ καὶ κάμνουσαν καὶ ἀπόλλυσθαι
μέλλουσαν τὴν ψυχὴν πολλάκις ἔσωσαν, τοῖς μὲν πρᾳοτέραν
τὴν κόλασιν 7) ἐργασάμενοι, τοὺς δὲ οὐδὲ παρὰ τὴν ἀρχὴν
ἀφέντες ἐμπεσεῖν, οὐ τῷ διδάσκειν μόνον καὶ νουθετεῖν, ἀλλὰ
καὶ τῷ δι᾽ εὐχῶν βοηθεῖν. Οὐ γὰρ ὅτ᾽ ἂν ἡμᾶς ἀναγεννῶ- 196
σι 8) μόνον, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα συγχωρεῖν ἔχουσιν ἐξου-
σίαν ἁμαρτήματα. Ἀσθενεῖ 9) γάρ τις, φησὶν, ἐν ὑμῖν; προκα-
λεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθω-
σαν ὑπὲρ αὐτοῦ, 10) ἀλείψαντες 11) αὐτὸν ἐλαίῳ, ἐν τῷ ὀνό-
ματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα,
καὶ ἐγερεῖ αὐτὸν Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφε-
θήσονται αὐτῷ. Ἔπειτα οἱ μὲν φυσικοὶ γονεῖς, εἴ τισι τῶν 197
ὑπερεχόντων καὶ μεγάλα δυναμένων 12) προσκρούσαιεν οἱ παῖ-

---

6) *ἱερεῦσιν*. Idem Aristotelis de iis parentibus, qui liberos erudiunt, non generant solummodo, judicium fuit. *τῶν γονέων τοὺς παιδεύσαντας ἐντιμοτέρους εἶναι τῶν μόνον γεννησάντων· τοὺς μὲν γὰρ τὸ ζῆν, τοὺς δὲ τὸ καλῶς ζῆν παρασχέσθαι.* Laert. *Hoeschel.*

7) *τὴν κόλασιν. τῆς ψυχῆς.*

8) *ἀναγεννῶσι.* Intelligit hoc verbo actum baptismatis, quod pluribus insigniebatur nominibus a veteribus Christianis: *δῶρον, χάρισμα, χρῖσμα, φώτισμα, ἀφθαρσίας ἔνδυμα*, etc. Vid. *Vales.* ad Euseb. III, 22. T. X, p. 233. *Hein. L.*

9) *ἀσθενεῖ.* Jac. V, 14. 15. Preces pro aegroto fundendas hic injungi ab apostolo nemo mirabitur, qui scit, quantum tribuerint Judaei precibus a pontificibus fusis. Porro oleorum usus in aegrotis sanandis maxime tunc temporis erat vulgaris, unde facile intelliges, quid sibi voluerit Jacobus verbis *ἀλείψαντες αὐτὸν ἐλαίῳ. L.*

10) *ὑπὲρ αὐτοῦ.* Erasm. *ἐπ᾽ αὐτόν.* at vetus quoque interpres, *pro eo.* idem illa verba, *ἐν τῷ ὀνόματι τοῦ κυρίου*, non habet.

11) *ἀλείψαντες.* Chrysostomi aetate sacramenti hujus usum ordinarium fuisse observatum, constat l. 3. de Sacerd. *Joh. Duraeus Jesuita Scotus.* Oleum symbolum erat valetudinis recuperatae. hoc utantur, qui possunt aegrotis sanitatem precibus impetrare: qui non possunt, abstineant inani symbolo. *Whitakerus.* Usus est eodem Chrysostomi loco *Lindanus*, quem refutavit *Chemnitius*, E. C. T. Part. II. f. 238. Hodiernum ritus hujus apud Graecos usum exhibet *Confessio ecclesiae orientalis.* Unum hoc loco Chrysostomus, quod nemo dubitat, ex Jac. V. 14. docet, multum posse sacerdotes *δι᾽ εὐχῶν βοηθεῖν.*

12) *δυναμένων.* Morel. *ὧδε δυναμένων.* Etiam §. 548. haec particula in Palatino illo codice *παρέλκει. ὧδε ἐπαίνους.*

δας, οὐδὲν αὐτοὺς ἔχουσιν ὠφελεῖν· οἱ δὲ ἱερεῖς οὐκ ἄρχοντας,
οὐδὲ βασιλεῖς, ἀλλ᾽ αὐτὸν αὐτοῖς πολλάκις ὀργισθέντα κατήλ-
198 λαξαν τὸν Θεόν. Ἔτ᾽ οὖν ἡμᾶς μετὰ ταῦτα τολμήσει τὶς
ἀπονοίας κρίνειν; ἐγὼ μὲν γὰρ ἐκ τῶν εἰρημένων τοσαύτην εὐ-
λάβειαν, οἶμαι, τὰς τῶν ἀκουόντων καταστῆσαι ψυχὰς, ὡς μη-
κέτι τοὺς φεύγοντας, ἀλλὰ τοὺς ἀφ᾽ ἑαυτῶν προσιόντας καὶ
σπουδάζοντας ταύτην ἑαυτοῖς κτήσασθαι τὴν τιμὴν, ἀπονοίας
καὶ τόλμης κρίνειν.

199 Εἰ γὰρ [13]) οἱ τὰς τῶν πόλεων ἀρχὰς πιστευθέντες, ὅτ᾽
ἂν μὴ συνετοὶ καὶ λίαν ὀξεῖς τυγχάνωσιν ὄντες, καὶ τὰς πό-
λεις ἀνέτρεψαν καὶ ἑαυτοὺς προσαπώλεσαν· ὁ τοῦ Χριστοῦ
τὴν νύμφην κατακοσμεῖν λαχὼν, πόσης σοι δοκεῖ δεῖσθαι δυ-
νάμεως, καὶ τῆς παρ᾽ αὐτοῦ [14]) καὶ τῆς ἄνωθεν, πρὸς τὸ μὴ
διαμαρτεῖν;

200 VII. Οὐδεὶς μᾶλλον Παύλου τὸν Χριστὸν ἠγάπησεν, οὐ-
δεὶς μείζονα ἐκείνου σπουδὴν ἐπεδείξατο, οὐδεὶς πλείονος ἠξιώθη
χάριτος· [1]) ἀλλ᾽ ὅμως μετὰ τοσαῦτα [2]) δέδοικεν ἔτι καὶ τρέ-
μει, περὶ ταύτης τῆς ἀρχῆς καὶ τῶν ἀρχομένων ὑπ᾽ αὐτοῦ.
Φοβοῦμαι [3]) γὰρ, φησὶν, μή πως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτη-
σεν, [4]) οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος
τῆς εἰς τὸν Χριστόν. Καὶ πάλιν, ἐν φόβῳ καὶ ἐν τρόμῳ
201 πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. [5]) ἄνθρωπος εἰς τρίτον ἁρπαγεὶς

---

13) εἰ γάρ. Locus insignis et copiosus.

14) δυνάμεως καὶ τῆς παρ᾽ αὐτοῦ καὶ τῆς ἄνωθεν. Supernam ῥοπὴν et hominis προθυμίαν saepissime Chrysostomus in hoc dialogo (§. 200. 16. 207. 365. 421.) et aliis locis conjunctim memorat: neque alteram sine altera haberi posse, *ΜΕΓΑ ΔΟΓΜΑ* esse statuit, ut Rittershusius observat. Vide 2. Petr. 1, 3. 5.

1) χάριτος. Verbum commune.

2) τοσαῦτα. Editi addunt, πλεονεκτήματα, quod a mss. abesse notat *Hoeschelius*. Vet. int. *haec tanta*.

3) φοβοῦμαι. 2. Cor. 11, 3. — ἐν φόβῳ, 1. Cor. 2, 3. *L.*

4) ἐξηπάτησεν. Editi addunt, ἐν τῇ πανουργίᾳ αὐτοῦ. ex 2. Cor. XI. 3.

5) πρὸς ὑμᾶς. Hiant Graeca. nam idem Int. post *apud vos* addit: *Et item, Timeo ne aliis praedicans, ipse reprobus efficiar.* quem hiatum facillime dedit formula καὶ πάλιν iterata. Concinne hunc locum 1. Cor. 9, 27. contulit *Hafenrefferus* ad Ez. 48, 31. de porta Levitis ipsis assignata. *Quamquam Levitae*, inquit, *cultui sacro destinati sint, nisi tamen et ipsi incolae sint sanctae civitatis; beneficiorum et privilegiorum ejusdem non sunt participes. etc.* Templ. Ez. f. 142.

οὐρανὸν, καὶ ἀποῤῥήτων 6) κοινωνήσας Θεοῦ, καὶ τοσούτους
ὑπομείνας θανάτους, ὅσας μετὰ τὸ πιστεῦσαι ἔζησεν ἡμέρας·
ἄνθρωπος μηδὲ τῇ δοθείσῃ παρὰ Χριστοῦ χρήσασθαι ἐξουσίᾳ
βουληθεὶς, ἵνα μή τις τῶν πιστευσάντων σκανδαλισθῇ. εἰ τοί- 202
νυν ὁ τὰ προστάγματα ὑπερβαίνων τοῦ Θεοῦ, 7) καὶ μηδαμοῦ
τὸ ἑαυτοῦ ζητῶν, ἀλλὰ τὸ τῶν ἀρχομένων, οὕτως ἔμφοβος
ἦν ἀεὶ, πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἀφορῶν· τί πεισόμεθα 8)
ἡμεῖς οἱ πολλαχοῦ τὰ ἑαυτῶν ζητοῦντες, οἱ τὰς ἐντολὰς τοῦ
Χριστοῦ οὐ μόνον οὐχ ὑπερβαίνοντες, ἀλλὰ καὶ ἐκ πλείονος
παραβαίνοντες μοίρας; Τίς ἀσθενεῖ, φησὶ, καὶ οὐκ ἀσθενῶ;
τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Τοιοῦτον εἶναι δεῖ 203
τὸν ἱερέα, μᾶλλον δὲ οὐ τοιοῦτον μόνον· μικρὰ γὰρ ταῦτα
καὶ τὸ μηδὲν, πρὸς ὃ μέλλω λέγειν. τί δὲ τοῦτό ἐστιν; Ἠὐ- 204
χόμην, 9) φησὶν, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ, ὑπὲρ τῶν
ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. Εἴ τις
δύναται ταύτην ἀφεῖναι τὴν φωνὴν, εἴ τις ἔχει τὴν ψυχὴν ταύ-
της ἐφικνουμένην τῆς εὐχῆς, 10) ἐγκαλεῖσθαι δίκαιος ἂν εἴη
φεύγων· εἰ δέ τις 11) ἀποδέοι τῆς ἀρετῆς ἐκείνης τοσοῦτον, 205
ὅσον ἡμεῖς, οὐχ ὅταν φεύγῃ, ἀλλ' ὅταν δέχηται, μισεῖσθαι δί- 206
καιος. Οὐδὲ γὰρ, εἰ στρατιωτικῆς ἀξίας αἵρεσις προὔκειτο,
εἶτα χαλκοτύπον, 12) ἢ σκυτοτόμον, ἤ τινα τῶν τοιούτων δη-
μιουργῶν, ἑλκύσαντες εἰς τὸ μέσον οἱ δοῦναι κύριοι τὴν τι-
μὴν, ἐνεχείριζον τὸν στρατόν· ἐπῄνεσα 13) ἂν τὸν δείλαιον

---

6) *ἀποῤῥήτων.* Idem verbum, §. 411. 590. [Sunt vero τὰ ἀπόῤῥητα h. l. *arcana*, *mysteria*. Cum hoc vocabulo arcte conjungendus est genitivus θεοῦ, pro quo male dativum habet **Montefalconius**. *L.*]

7) *τοῦ θεοῦ.* Alii habent τοῦ χριστοῦ notante **Montef.** — *τίς ἀσθενεῖ.* 2. Cor. XI, 29. *L.*

8) *πεισόμεθα.* A πείθομαι, qui poenas dat, eatenus *paret*.

9) *ηὐχόμην.* Rom. IX, 3. *L.*

10) *ψυχὴ ταύτης ἐφικνουμένη τῆς εὐχῆς*, recte vertit **Hasselbach**: *eine Seele, die an diesen Wunsch hinanreicht.* Cf. **Valcken.** opusc. II, p. 180. *L.*

11) *εἰ δέ τις.* Speculi loco ad hanc rem esse potest **Grossgebaueri** *Wächter-Stimme* cap. XIV. ubi de noxia antistitum discretione et justo ardore ardentissime agit.

12) *χαλκοτύπος*, faber aerarius. vid. **Wesseling.** ad Herod. I, 26. Xenoph. Agesil. junguntur χαλκοτύποι et σιδηρεῖς. *L.*

13) *ἐπῄνεσα ἄν.* Ita scripsi cum **Bengelio**, praeeuntibus *Savilio* et quibusdam Cdd. Alii habent ἐπῄνεσας, et *Ducaeus* ἐπῄνεσαν, quae posterior lectio procul dubio ex sequenti vocula ἂν fluxit, quae tamen nullo modo potest loco moveri. Vid. **Matthiae** Gr. Gr. §. 508. sqq. *L.*

ἐκεῖνον οὐ φεύγοντα καὶ πάντα ποιοῦντα, ὥστε μὴ εἰς προὖ-
207 πτον ἑαυτὸν ἐμβαλεῖν κακόν. Εἰ μὲν γὰρ ἁπλῶς τὸ κληθῆναι
ποιμένα,[14]) καὶ μεταχειρίσαι τὸ πρᾶγμα, ὡς ἔτυχεν, ἀρκεῖ,
καὶ κίνδυνος οὐδεὶς, ἐγκαλείτω κενοδοξίας ἡμῖν ὁ βουλόμενος·
εἰ δὲ πολλὴν μὲν σύνεσιν, πολλὴν δὲ πρὸ τῆς συνέσεως[15]) τὴν
παρὰ τοῦ Θεοῦ χάριν, καὶ τρόπων ὀρθότητα, καὶ καθαρό-
τητα βίου, καὶ μείζονα ἢ κατὰ ἄνθρωπον ἔχειν δεῖ τὴν ἀρε-
τὴν,[16]) τὸν ταύτην ἀναδεχόμενον τὴν φροντίδα· μή με ἀπο-
στερήσῃς συγγνώμης, μάτην ἀπολέσθαι μὴ βουλόμενον καὶ εἰκῆ.
208 Καὶ γὰρ εἰ μυριάγωγόν[17]) τις ὁλκάδα ἄγων, πεπληρωμένην
ἐρετῶν καὶ φορτίων γέμουσαν πολυτελῶν, εἶτα ἐπὶ τῶν οἰά-
κων καθίσας ἐκέλευε[18]) περᾶν τὸ Αἰγαῖον ἢ τὸ Τυῤῥηνικὸν

---

14) *κληθῆναι ποιμένα.* Ambros. de Dignit. sacerd. c. III. Quod sumus professione, actione potius, quam nomine demonstremus, ut nomen congruat actioni, actio respondeat nomini; ne sit nomen inane et crimen immane. Sicut senatorem chlamys ornat, sicut agricultura rusticum, sicut barbarum arma, sicut nautam navigationis peritia, et singulos quosque opifices operis sui qualitas ipsos demonstrat auctores, sic episcopum non aliud, nisi episcopalis opera designat.

15) *πρὸ τῆς συνέσεως.* Sic *πρὸ*, §. 613. Vicissim, *μετὰ τὴν τοῦ Θεοῦ χάριν.* §. 365.

16) *ἀρετήν.* Summam hic complectitur locus. Nervose etiam Wilh. Zepperus: *Opus est* ecclesiae pastoribus, *ut* doctrinae verbi divini periti sint, illamque cum prudentia *quadam et ἐνεργείᾳ* spirituali *ad doctrinam, redargutionem, institutionem, correctionem et consolationem, pro personarum, locorum, temporum et praesentis status ratione accommodare queant. Opus ipsis est* vita integra, sancta et inculpata, *quae doctrinae ipsorum respondeat, illiusque vivum sit exemplum. Opus est, ut uxores etiam suas, liberos et* domesticos, *ad pietatis, virtutis, pudicitiae et honestarum actionum exercitia forment. Opus est continuis, et pro se ipsis et pro ecclesiis ipsorum fidei commissis,* precibus, *ut et ipsi esse possint, qui audiunt, et in vanum in suo ministerio non currant.* lib. II. de Politia eccl. c. 2.

17) *μυριάγωγον*, i. e. *μυρία*, ut hic locus ostendit, et corpora et onera vehentem. Composita ex *ἀγωγὸς* et substantivo, manent oxytona, ut *σιταγωγός*· cetera fiunt proparoxytona, ut *δυσάγωγος.* [*μυριαγωγός* plerumque dicitur de navi oneraria, quae multa millia hominum, equorum, aliorumque onerum vehitur, omninoque magnam onerum multitudinem capit. Cf. Chrysost. T. V, p. 154 A. T. VIII, p. 451 B. Alias est *ναῦς φορταγωγός*, Polyb. T. III, p. 456. ed. *Ern.* Etiam *μυριοφόρος*, Chrysost. T. II, p. 588 A. *L.*]

18) *ἐκέλευε.* Ita *Montef.* et *Bengel.* Alii *ἐκέλευέ με*, quam lectionem sequitur *Hasselbach.* — *ἐπὶ τῶν οἰάκων*, *οἴαξ* est pars superior gubernaculi, quo regitur. Philo p. 7 E. *οἷα γὰρ ἡνίοχος ἡνιῶν, ἢ κυβερνήτης οἰάκων ἐνειλημμένος ἄγει, ᾗ ἂν ἐθέλῃ.* Ibid. p. 78 E. *ναῦς εὐθυδρομεῖ, ἡνίκα τῶν οἰάκων λαβόμενος ὁ κυβερνήτης ἀκολούθως πηδαλιουχεῖ.* p. 304 E. *οὗ (λόγου) καθάπερ*

πέλαγος,[19]) ἐκ πρώτης ἂν ἀπεπήδησα τῆς φωνῆς· καὶ εἴ τις ἤρετο, διὰ τί; ἵνα μὴ καταδύσω τὸ πλοῖον, εἶπον ἄν.

VIII. Εἶτα ἔνθα μὲν εἰς χρήματα ἡ ζημία, καὶ ὁ κίν- 209
δυνος σωματικοῦ μέχρι [1]) θανάτου, οὐδεὶς ἐγκαλέσει πολλῇ κεχρημένοις προνοίᾳ· ὅπου δὲ τοῖς ναυαγοῦσιν οὐκ εἰς τὸ πέλαγος τοῦτο, ἀλλ' εἰς τὴν ἄβυσσον τοῦ πυρὸς ἀπόκειται πεσεῖν, καὶ θάνατος αὐτοὺς οὐχ ὁ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος [2]) διαιρῶν, ἀλλ' ὁ ταύτην μετ' ἐκείνου εἰς κόλασιν παραπέμπων αἰώνιον ἐκδέχεται· ἐνταῦθα ὅτι μὴ προπετῶς εἰς τοσοῦτον ἑαυτοὺς ἐῤῥίψαμεν [3]) κακὸν, ὀργιεῖσθε καὶ μισήσετε;
μὴ, δέομαι καὶ ἀντιβολῶ. Οἶδα τὴν ἐμαυτοῦ ψυχὴν, τὴν ἀσθενῆ 210
ταύτην καὶ μικράν· οἶδα τῆς διακονίας ἐκείνης τὸ μέγεθος,
καὶ τὴν πολλὴν τοῦ πράγματος δυσκολίαν. Πλείονα γὰρ τῶν 211
τὴν θάλατταν ταραττόντων πνευμάτων [4]) χειμάζει κύματα [5]) τὴν τοῦ ἱερωμένου ψυχήν.

οἴακος ἐνειλημμένος ὁ τῶν ὅλων κυβερνήτης πηδαλιουχεῖ τὰ σύμπαντα. Cf. Chrysost. T. XII, p. 387 E. Ex ligno fuisse credibile fit ex Eustath. ad Odyss. p. 1533. Cf. *Graev.* ad Hesiod. p. 10. Polluc. L. I, p. 61 et Hesych. in *οἴακες*. Formula ἐπὶ τῶν οἰάκων *καθῆσθαι* frequenter dicitur de gubernatore (cf. Chrysost. T. III, p. 477 E.) unde apparet, *οἴακα* etiam de toto gubernaculo dici, quod nostrum in locum quadrat. Plures habebat hoc gubernaculum clavos, super quibus sedebat gubernator, ut pedibus fortasse eos regeret. Vid. *Matthaei* Chrysost. Hom. III. T. II, p. 6 seq. *L.*

19) *πέλαγος.* Utrumque periculosum. *Aegaeum navigat*, Proverbium ab Erasmo notatum. In Tyrrheno erat Scylla, unde *Alciphron*, *Μὴ γένηταί σοι τὸ τῆς ψαλτρίας καταγώγιον ὁ καλυδώνιος κόλπος ἢ τὸ τυῤῥηνικὸν πέλαγος.* p. 70. 71. ed. Bergler. Adde *σικελικὸν πορθμὸν*, ibid. p. 40.

1) *μέχρι.* Saepe *μέχρι* limitat. §. 86. 318.

2) *τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.* *Hinc illa mortis definitio apud Platonem, Phaedone*, *ὁ θάνατος λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. mors etc.* *Hoeschelius.* [Legitur hic locus ab *Hoeschelio* laudatus in Phaedone c. XII. p. 280. *Fisch.* Similiter Tertullianus de Anima c. LI. Vol. IV, p. 317 dicit: *Opus autem mortis in medio est, discretio corporis animaeque. L.*]

3) *ἑαυτοὺς ἐῤῥίψαμεν.* Prima editio *ἑαυτοὺς* eleganter omittit. Sic *ἀποῤῥίπτειν* Act. 27, 43. Latini quoque *praecipito.* [Vide, quae de hoc usu hujus verbi notavit *D'Orvill.* ad Charit. III, 5. p. 309. Cf. Xenoph. De Venat. IX, 20., ubi de cervis dicitur: *ῥιπτοῦσι εἰς τὴν θάλασσαν. L.*]

4) *ταραττόντων πνευμάτων.* Ita legit quoque *Montefalconius;* alii *ταραττόντων κυμάτων.* Post *τερατεύονται* cum Palatino addunt nonnulli libri *τῶν σειρήνων*, quam glossam quod veram appellavit, miror *Bengelium.* Rectius contra judicavit *Hasselbach.*, hoc glossema ne idoneum quidem fundere sensum. *L.*

5) *κύματα.* *Κῦμα*, *πνεύματι* respondens, magnum potius fluctum, quam singularem undam indicat. conf. §. 288.

μάτων[20]) καὶ ἐκ θελήματος σαρκὸς ἐγέννησαν· οἱ δὲ τῆς ἐκ τοῦ Θεοῦ γεννήσεως ἡμῖν εἰσιν αἴτιοι, τῆς μακαρίας παλιγγενεσίας ἐκείνης, τῆς ἐλευθερίας τῆς ἀληθοῦς, καὶ τῆς κατὰ χάριν υἱοθεσίας.

190 VI. *Λέπραν*[1]) σώματος ἀπαλλάττειν, μᾶλλον δὲ ἀπαλλάττειν μὲν οὐδαμῶς, τοὺς δὲ ἀπαλλαγέντας δοκιμάζειν μόνον, εἶχον ἐξουσίαν οἱ τῶν Ἰουδαίων ἱερεῖς· καὶ οἶσθα, πῶς περιμάχητον ἦν τὸ τῶν ἱερέων τότε. οὗτοι δὲ οὐ λέπραν σώματος, ἀλλ' ἀκαθαρσίαν ψυχῆς, οὐκ ἀπάλλαγεῖσαν δοκιμάζειν,
191 ἀλλ' ἀπαλλάττειν παντελῶς ἔλαβον ἐξουσίαν. Ὥστε οἱ τούτων ὑπερορῶντες πολὺ καὶ τῶν περὶ *Δαθὰν*[2]) εἶεν ἐναγέστεροι[3]) καὶ μείζονος ἄξιοι τιμωρίας. οἱ μὲν γὰρ εἰ καὶ μὴ προσηκούσης αὐτοῖς ἀντεποιοῦντο[4]) τῆς ἀρχῆς, ἀλλ' ὅμως θαυμαστήν τινα περὶ αὐτῆς εἶχον δόξαν, καὶ τοῦτο τῷ μετὰ πολλῆς ἐφίεσθαι σπουδῆς ἔδειξαν· οὗτοι δὲ ὅτε ἐπὶ τὸ κρεῖττον διεκοσμήθη, καὶ τοσαύτην ἔλαβεν ἐπίδοσιν τὸ πρᾶγμα, τότε ἐξ ἐναντίας μὲν ἐκείνοις, πολλῷ δὲ ἐκείνων μείζονα τετολμή-
192 κασιν. οὐδὲ γὰρ ἴσον εἰς καταφρονήσεως λόγον, ἐφίεσθαι μὴ προσηκούσης τιμῆς καὶ ὑπερορᾶν· ἀλλὰ τοσούτῳ μεῖζον ἐκείνου τοῦτο, ὅσῳ τοῦ διαπτύειν καὶ θαυμάζειν τὸ μέσον ἐστί.
193 Τίς οὖν οὕτως ἀθλία ψυχὴ, ὡς τοσούτων ὑπεριδεῖν ἀγαθῶν; οὐκ ἄν ποτε φαίην ἐγὼ, πλὴν εἰ μή[5]) τις οἶστρον ὑπομεί-
194 νειε δαιμονικόν. Ἀλλὰ γὰρ ἐπάνειμι πάλιν, ὅθεν ἐξέβην. οὐ

---

20) *ἐξ αἱμάτων*. Joh. 1, 13. *ex sanguinibus*. Vulgatum enim hoc plurali uteutem satis defendit *Voss*. l. 3. de Vitiis serm. c. 57. *αἱμάτων* etiam habes §. 76. 607.

1) *λέπραν*. De hoc praecepto vid. Levit. XIII. *L*.

2) *οἱ περὶ Δαθάν*. Dathanes ejusque socii. Cf. Xenoph. Anab. VII, 4, 12. *οἱ περὶ Ξενοφῶντα*. Hist. Gr. III, 4, 20. IV, 2, 8. De re vid. Numer. c. XVI. *L*.

3) *ἐναγής*. Derivatur hoc vocabulum ab *ἄγος*, piaculum et significat hominem *scelestum*. Cf. Tom. XII, p. 356 B. *γυνὴ καὶ πτωχὴ ἦν, καὶ ἐναγὴς, καὶ ἀλλόφυλος*. Sic T. I, p. 272 C. *βέβηλος καὶ ἐναγὴς* de re eadem habet Chrysostomus. Veteres Grammatici explicabant h. v. etiam per *σεβάσμιος*, qua de re cf. *Erfurdt* ad Soph. Oed. Tyr. v. 655. *L*.

4) *ἀντεποιοῦντο*, affectabant. Eodem significatu occurrit apud Xenoph. Anab. II, 1, 9. *τίς γὰρ αὐτῷ ἐστιν, ὅστις ἀρχῆς ἀντιποιεῖται;* Memorr. II, 1, 1. *ὅπως μὴ ἀντιποιήσεται ἀρχῆς*. Suidas *ἀντιποιούμενον· ἐπιμελῶς διακείμενον*. *L*.

5) *πλὴν εἰ μή*. *Πλὴν εἰ*. §. 159. 266. eodem sensu. [*οἶστρος δαιμονικός*, furor daemoniacus. Aelian. V. H. *οἶστρος βακχικός*. Cf. *Passow* in Lex. s. v. *οἶστρος*. *L*.]

γὰρ ἐν τῷ κολάζειν μόνον, ἀλλὰ καὶ ἐν τῷ ποιεῖν εὖ, μεί-
ζονα τοῖς ἱερεῦσιν [6]) ἔδωκε δύναμιν τῶν φυσικῶν γονέων ὁ
Θεός· καὶ τοσοῦτον ἀμφοτέρων τὸ διάφορον, ὅσον τῆς παρ-
ούσης καὶ τῆς μελλούσης ζωῆς. Οἱ μὲν γὰρ εἰς ταύτην, οἱ 195
δὲ εἰς ἐκείνην γεννῶσι· κἀκεῖνοι μὲν οὐδὲ τὸν σωματικὸν αὐ-
τοῖς δύναιντ' ἂν ἀμύνασθαι θάνατον, οὔτε νόσον ἐπενεχθεῖ-
σαν ἀποκρούσασθαι· οὗτοι δὲ καὶ κάμνουσαν καὶ ἀπόλλυσθαι
μέλλουσαν τὴν ψυχὴν πολλάκις ἔσωσαν, τοῖς μὲν πραοτέραν
τὴν κόλασιν [7]) ἐργασάμενοι, τοὺς δὲ οὐδὲ παρὰ τὴν ἀρχὴν
ἀφέντες ἐμπεσεῖν, οὐ τῷ διδάσκειν μόνον καὶ νουθετεῖν, ἀλλὰ
καὶ τῷ δι' εὐχῶν βοηθεῖν. Οὐ γὰρ ὅτ' ἂν ἡμᾶς ἀναγεννῶ- 196
σι [8]) μόνον, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα συγχωρεῖν ἔχουσιν ἐξου-
σίαν ἁμαρτήματα. Ἀσθενεῖ [9]) γάρ τις, φησὶν, ἐν ὑμῖν; προκα-
λεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθω-
σαν ὑπὲρ αὐτοῦ, [10]) ἀλείψαντες [11]) αὐτὸν ἐλαίῳ, ἐν τῷ ὀνό-
ματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα,
καὶ ἐγερεῖ αὐτὸν Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφε-
θήσονται αὐτῷ. Ἔπειτα οἱ μὲν φυσικοὶ γονεῖς, εἴ τισι τῶν 197
ὑπερεχόντων καὶ μεγάλα δυναμένων [12]) προσκρούσαιεν οἱ παῖ-

---

6) *ἱερεῦσιν.* Idem Aristotelis de iis parentibus, qui liberos erudiunt, non generant solummodo, judicium fuit. *τῶν γονέων τοὺς παιδεύσαντας ἐντιμοτέρους εἶναι τῶν μόνον γεννησάντων· τοὺς μὲν γὰρ τὸ ζῆν, τοὺς δὲ τὸ καλῶς ζῆν παρασχέσθαι.* Laert. *Hoeschel.*

7) *τὴν κόλασιν.* *τῆς ψυχῆς.*

8) *ἀναγεννῶσι.* Intelligit hoc verbo actum baptismatis, quod pluribus insigniebatur nominibus a veteribus Christianis: *δῶρον, χάρισμα, χρῖσμα, φώτισμα, ἀφθαρσίας ἔνδυμα*, etc. Vid. *Vales.* ad Euseb. III, 22. T. X, p. 233. *Hein. L.*

9) *ἀσθενεῖ.* Jac. V, 14. 15. Preces pro aegroto fundendas hic injungi ab apostolo nemo mirabitur, qui scit, quantum tribuerint Judaei precibus a pontificibus fusis. Porro oleorum usus in aegrotis sanandis maxime tunc temporis erat vulgaris, unde facile intelliges, quid sibi voluerit Jacobus verbis *ἀλείψαντες αὐτὸν ἐλαίῳ. L.*

10) *ὑπὲρ αὐτοῦ.* Erasm. *ἐπ' αὐτόν.* at vetus quoque interpres, *pro eo.* idem illa verba, *ἐν τῷ ὀνόματι τοῦ κυρίου*, non habet.

11) *ἀλείψαντες.* Chrysostomi aetate sacramenti hujus usum ordinarium fuisse observatum, constat l. 3. de Sacerd. *Joh. Duraeus Jesuita Scotus.* Oleum symbolum erat valetudinis recuperatae. hoc utantur, qui possunt aegrotis sanitatem precibus impetrare: qui non possunt, abstineant inani symbolo. *Whitakerus.* Usus est eodem Chrysostomi loco *Lindanus*, quem refutavit *Chemnitius*, E. C. T. Part. II. f. 238. Hodiernum ritus hujus apud Graecos usum exhibet *Confessio ecclesiae orientalis.* Unum hoc loco Chrysostomus, quod nemo dubitat, ex Jac. V. 14. docet, multum posse sacerdotes *δι' εὐχῶν βοηθεῖν.*

12) *δυναμένων.* Morel. *ὧδε δυναμένων.* Etiam §. 548. haec particula in Palatino illo codice *παρέλκει. ὧδε ἐπαίνους.*

ἐκεῖνον οὐ φεύγοντα καὶ πάντα ποιοῦντα, ὥστε μὴ εἰς πρού-
207 πτον ἑαυτὸν ἐμβαλεῖν κακόν. Εἰ μὲν γὰρ ἁπλῶς τὸ κληθῆναι ποιμένα,[14]) καὶ μεταχειρίσαι τὸ πρᾶγμα, ὡς ἔτυχεν, ἀρκεῖ, καὶ κίνδυνος οὐδεὶς, ἐγκαλείτω κενοδοξίας ἡμῖν ὁ βουλόμενος· εἰ δὲ πολλὴν μὲν σύνεσιν, πολλὴν δὲ πρὸ τῆς συνέσεως[15]) τὴν παρὰ τοῦ Θεοῦ χάριν, καὶ τρόπων ὀρθότητα, καὶ καθαρότητα βίου, καὶ μείζονα ἢ κατὰ ἄνθρωπον ἔχειν δεῖ τὴν ἀρετὴν,[16]) τὸν ταύτην ἀναδεχόμενον τὴν φροντίδα· μή με ἀποστερήσῃς συγγνώμης, μάτην ἀπολέσθαι μὴ βουλόμενον καὶ εἰκῆ.
208 Καὶ γὰρ εἰ μυριάγωγόν[17]) τις ὁλκάδα ἄγων, πεπληρωμένην ἐρετῶν καὶ φορτίων γέμουσαν πολυτελῶν, εἶτα ἐπὶ τῶν οἰάκων καθίσας ἐκέλευε[18]) περᾶν τὸ Αἰγαῖον ἢ τὸ Τυῤῥηνικὸν

---

14) κληθῆναι ποιμένα. Ambros. de Dignit. sacerd. c. III. Quod sumus professione, actione potius, quam nomine demonstremus, ut nomen congruat actioni, actio respondeat nomini; ne sit nomen inane et crimen immane. Sicut senatorem chlamys ornat, sicut agricultura rusticum, sicut barbarum arma, sicut nautam navigationis peritia, et singulos quosque opifices operis sui qualitas ipsos demonstrat auctores, sic episcopum non aliud, nisi episcopalis opera designat.

15) πρὸ τῆς συνέσεως. Sic πρὸ, §. 613. Vicissim, μετὰ τὴν τοῦ Θεοῦ χάριν. §. 365.

16) ἀρετήν. Summam hic complectitur locus. Nervose etiam Wilh. Zepperus: *Opus est* ecclesiae pastoribus, *ut* doctrinae verbi divini periti sint, illamque cum prudentia *quadam et* ἐνεργείᾳ spirituali *ad doctrinam, redarguitionem, institutionem, correctionem et consolationem, pro personarum, locorum, temporum et praesentis status ratione accommodare queant. Opus ipsis est* vita integra, sancta et inculpata, *quae doctrinae ipsorum respondeat, illiusque vivum sit exemplum. Opus est, ut uxores etiam suas, liberos et* domesticos, *ad pietatis, virtutis, pudicitiae et honestarum actionum exercitia forment. Opus est continuis, et pro se ipsis et pro ecclesiis ipsorum fidei commissis,* precibus, *ut et ipsi esse possint, qui audiunt, et in vanum in suo ministerio non currant.* lib. II. de Politia eccl. c. 2.

17) μυριάγωγον, i. e. μυρία, ut hic locus ostendit, et corpora et onera vehentem. Composita ex ἀγωγὸς et substantivo, manent oxytona, ut σιταγωγός· cetera fiunt proparoxytona, ut δυσάγωγος. [μυριαγωγός plerumque dicitur de navi oneraria, quae multa millia hominum, equorum, aliorumque onerum vehitur, omninoque magnam onerum multitudinem capit. Cf. Chrysost. T. V, p. 154 A. T. VIII, p. 451 B. Alias est ναῦς φορταγωγός, Polyb. T. III, p. 456. ed. *Ern.* Etiam μυριοφόρος, Chrysost. T. II, p. 588 A. *L.*]

18) ἐκέλευε. Ita *Montef.* et *Bengel.* Alii ἐκέλευέ με, quam lectionem sequitur *Hasselbach.* — ἐπὶ τῶν οἰάκων, οἴαξ est pars superior gubernaculi, quo regitur. Philo p. 7 E. οἷα γὰρ ἡνίοχος ἡνιῶν, ἢ κυβερνήτης οἰάκων ἐνειλημμένος ἄγει, ᾗ ἂν ἐθέλῃ. Ibid. p. 78 E. ναῦς εὐθυδρομεῖ, ἡνίκα τῶν οἰάκων λαβόμενος ὁ κυβερνήτης ἀκολούθως πηδαλιουχεῖ. p. 304 E. οὗ (λόγου) καθάπερ

πέλαγος,[19]) ἐκ πρώτης ἂν ἀπεπήδησα τῆς φωνῆς· καὶ εἴ τις
ἤρετο, διὰ τί; ἵνα μὴ καταδύσω τὸ πλοῖον, εἶπον ἄν.
VIII. Εἶτα ἔνθα μὲν εἰς χρήματα ἡ ζημία, καὶ ὁ κίν- 209
δυνος σωματικοῦ μέχρι[1]) θανάτου, οὐδεὶς ἐγκαλέσει πολλῇ
κεχρημένοις προνοίᾳ· ὅπου δὲ τοῖς ναυαγοῦσιν οὐκ εἰς τὸ πέ-
λαγος τοῦτο, ἀλλ' εἰς τὴν ἄβυσσον τοῦ πυρὸς ἀπόκειται πε-
σεῖν, καὶ θάνατος αὐτοὺς οὐχ ὁ τὴν ψυχὴν ἀπὸ τοῦ σώμα-
τος[2]) διαιρῶν, ἀλλ' ὁ ταύτην μετ' ἐκείνου εἰς κόλασιν πα-
ραπέμπων αἰώνιον ἐκδέχεται, ἐνταῦθα ὅτι μὴ προπετῶς εἰς
τοσοῦτον ἑαυτοὺς ἐῤῥίψαμεν[3]) κακὸν, ὀργιεῖσθε καὶ μισήσετε;
μὴ, δέομαι καὶ ἀντιβολῶ. Οἶδα τὴν ἐμαυτοῦ ψυχὴν, τὴν ἀσθενῆ 210
ταύτην καὶ μικράν· οἶδα τῆς διακονίας ἐκείνης τὸ μέγεθος,
καὶ τὴν πολλὴν τοῦ πράγματος δυσκολίαν. Πλείονα γὰρ τῶν 211
τὴν θάλατταν ταραττόντων πνευμάτων[4]) χειμάζει κύματα[5])
τὴν τοῦ ἱερωμένου ψυχήν.

οἴακος ἐνειλημμένος ὁ τῶν ὅλων κυβερνήτης πηδαλιουχεῖ τὰ σύμπαντα. Cf. Chrysost. T. XII, p. 387 E. Ex ligno fuisse credibile fit ex Eustath. ad Odyss. p. 1533. Cf. *Graev.* ad Hesiod. p. 10. Polluc. L. I, p. 61 et Hesych. in *οἴακες*. Formula *ἐπὶ τῶν οἰάκων καθῆσθαι* frequenter dicitur de gubernatore (cf. Chrysost. T. III, p. 477 E.) unde apparet, *οἴακα* etiam de toto gubernaculo dici, quod nostrum in locum quadrat. Plures habebat hoc gubernaculum clavos, super quibus sedebat gubernator, ut pedibus fortasse eos regeret. Vid. *Matthaei* Chrysost. Hom. III. T. II, p. 6 seq. *L.*

19) *πέλαγος.* Utrumque periculosum. *Aegaeum navigat*, Proverbium ab Erasmo notatum. In Tyrrheno erat Scylla. unde *Alciphron*, *Μὴ γένηταί σοι τὸ τῆς ψαλτρίας καταγώγιον ὁ καλυδώνιος κόλπος ἢ τὸ τυῤῥηνικὸν πέλαγος.* p. 70. 71. ed. Bergler. Adde *σικελικὸν πορθμὸν*, ibid. p. 40.

1) *μέχρι.* Saepe *μέχρι* limitat. §. 86. 318.

2) *τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.* *Hinc illa mortis definitio apud Platonem, Phaedone, ὁ θάνατος λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. mors etc. Hoeschelius.* [Legitur hic locus ab *Hoeschelio* laudatus in Phaedone c. XII. p. 280. *Fisch.* Similiter Tertullianus de Anima c. LI. Vol. IV, p. 317 dicit: *Opus autem mortis in medio est, discretio corporis animaeque. L.*]

3) *ἑαυτοὺς ἐῤῥίψαμεν.* Prima editio *ἑαυτοὺς* eleganter omittit. Sic *ἀποῤῥίπτειν* Act. 27, 43. Latini quoque *praecipito.* [Vide, quae de hoc usu hujus verbi notavit *D'Orvill.* ad Charit. III, 5. p. 309. Cf. Xenoph. De Venat. IX, 20., ubi de cervis dicitur: *ῥιπτοῦσι εἰς τὴν θάλασσαν. L.*]

4) *ταραττόντων πνευμάτων.* Ita legit quoque *Montefalconius;* alii *ταραττόντων κυμάτων.* Post *τερατεύονται* cum Palatino addunt nonnulli libri *τῶν σειρήνων*, quam glossam quod veram appellavit, miror *Bengelium.* Rectius contra judicavit *Hasselbach.*, hoc glossema ne idoneum quidem fundere sensum. *L.*

5) *κύματα.* *Κῦμα, πνεύματι* respondens, magnum potius fluctum, quam singularem undam indicat. conf. §. 288.

IX. *Καὶ πρῶτον ἁπάντων, ὁ δεινότατος τῆς κενοδοξίας
σκόπελος,* 1) *χαλεπώτερος ὢν ὧν οἱ μυθοποιοὶ τερατεύονται.* 2)
212 *Τοῦτον* 3) *γὰρ πολλοὶ μὲν ἴσχυσαν διαπλεύσαντες διαφυγεῖν
ἀσινεῖς· ἐμοὶ δὲ οὕτω τοῦτο χαλεπὸν, ὡς μηδὲ νῦν, ὅτε οὐδε-
μία με τὶς ἀνάγκη πρὸς ἐκεῖνο ὠθεῖ τὸ βάραθρον, δύνασθαι
καθαρεύειν τοῦ δεινοῦ. εἰ δὲ καὶ τὴν ἐπιστασίαν τὶς ἐγχειρίζοι
ταύτην, μονονουχὶ δήσας ὀπίσω τὼ χεῖρε, παραδώσει τοῖς ἐν
ἐκείνῳ τῷ σκοπέλῳ κατοικοῦσι θηρίοις, καθ᾽ ἑκάστην με σπα-*
213 *ράττειν τὴν ἡμέραν. Τίνα δέ ἐστι τὰ θηρία;* 4) *θυμὸς, ἀθυ-
μία,* 5) *φθόνος, ἔρις, διαβολαὶ, κατηγορίαι,* 6) *ψεῦδος, ὑπό-
κρισις; ἐπιβουλαὶ, εὐχαὶ κατὰ* 7) *τῶν ἠδικηκότων οὐδὲν, ἡδοναὶ
ἐπὶ ταῖς τῶν συλλειτουργούντων* 8) *ἀσχημοσύναις, πένθος ἐπὶ
ταῖς εὐημερίαις; ἐπαίνων ἔρως, τιμῆς πόθος (τοῦτο δὴ τὸ μά-
λιστα πάντων τὴν ἀνθρωπείαν ἐκτραχηλίζον* 9) *ψυχὴν,) διδα-*

---

1) *σκόπελος.* Odyss. *μ΄. ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες* etc. ***Hoeschelius.***

2) *τερατεύονται. Τῶν σειρήνων*, veram illam quidem, sed tamen glossam, cum Palatino addunt recentiores. [*οἱ μυθοποιοί.* Vid. Homer. Odyss. XII, v. 73 sqq. *L.*]

3) *τοῦτον:* Syllepsis. nam praecedit *ὧν* plurale.

4) *θηρία.* Expendantur, quaeso, singulae partes hujus enumerationis. [Intelligit sub hisce *θηρίοις* vitia paulo post enumeranda. Ita quoque pluribus vitiis enumeratis T. II, p. 367 D. addit: *πάντα ταῦτα κατέσταλται τὰ θηρία.* Cf. T. III, p. 130 D. ***Matthaei*** l. l. ad Homil. III, 59. Praeterea haud inepte monuit ***Ritterus*** l. l. p. 245. Chrysostomum invitum h. l. depinxisse imaginem Theophili, Patriarchae Alexandrini, in quem inprimis illa laudis aucupia quadrant, de quibus paulo post loquitur Chrysostomus. *L.*]

5) *θυμὸς, ἀθυμία.* Pro *ἀθυμία* vetus interpres: ***pusillanimitas.*** Brixius: ***animi remissio.*** complures: ***tristitia.*** Tam late patet vis verbi Graeci, quam Germanici *Unmuth.* nam ***Muth*** est inversum *θυμός.* Saepe quidem *ἀθυμία* ***tristitiam*** notat §. 51. 306 s. 462. 591—599. ut opponatur *τῇ εὐθυμίᾳ.* Sed in praesenti opponitur *τῷ θυμῷ.* Sane *κενοδοξία* ut ***iracundiam***, sic vicissim ***lentitudinem*** alit: et conjungitur hic utraque, ut apud Suetonium in Tiberio, quem puerum suus praeceptor *πηλὸν αἵματι πεφυραμένον* appellaverit.

6) *κατηγορίαι.* Malim, *κακηγορίαι.* vet. ***vituperationes.***

7) *εὐχαὶ κατὰ* omisit ***Montefalconius***, quia desunt haec verba a nonnullis libris. Alii habent *ὀργαί. L.*

8) *συλλειτουργούντων.* Vet. Int. ***comministrorum.*** et rursum, ***comministros.*** §. 266. Talia medii aevi composita collegit ***Voss.*** l. 3. de Vitiis serm. c. 6. [*συλλειτουργούντων.* Alii *λειτουργούντων*, quod dedit quoque ***Montefalconius.*** *L.*]

9) *ἐκτραχηλίζον.* Verbum hoc proprie dicitur de ***equo*** sessorem excutiente: ad ***mores*** translatum, item notat ***praecipitem dare.*** Hesychius: *Ἐκτραχηλισθῆναι, ἐκπεσεῖν.* Facit id maxime animus ***fastu turgens***, in spes vanas, conatusque arrogantes et pericula in-

σκαλίαι πρὸς ἡδονὴν, 10) ἀνελεύθεροι κολακεῖαι, θωπεῖαι ἀγεν-
νεῖς, καταφρονήσεις πενήτων, θεραπεῖαι πλουσίων, ἀλόγιστοι
τιμαὶ καὶ ἐπιβλαβεῖς χάριτες, 11) κίνδυνον φέρουσαι καὶ τοῖς
παρέχουσι καὶ τοῖς δεχομένοις αὐτὰς, φόβος δουλοπρεπὴς καὶ
τοῖς φαυλοτάτοις τῶν ἀνδραπόδων προσήκων μόνοις, παῤῥη-
σίας ἀναίρεσις, ταπεινοφροσύνης τὸ μὲν σχῆμα πολὺ, ἡ ἀλή-
θεια δὲ οὐδαμοῦ, ἔλεγχοι δὲ ἐκποδὼν καὶ ἐπιτιμήσεις, μᾶλλον
δὲ κατὰ μὲν τῶν ταπεινῶν καὶ πέρα τοῦ μέτρου, ἐπὶ δὲ τῶν
δυναστείαν περιβεβλημένων οὐδὲ διᾶραί τις τὰ χείλη τολμᾷ.
Ταῦτά γὰρ ἅπαντα καὶ τὰ τούτων πλείονα ὁ σκόπελος ἐκεῖ- 214
νος τρέφει θηρία, οἷς τοὺς ἅπαξ ἁλόντας εἰς τοσαύτην ἀνάγκη
καθελκυσθῆναι δουλείαν, ὡς καὶ εἰς γυναικῶν 12) ἀρέσκειαν
πράττειν πολλὰ πολλάκις, ἃ μηδὲ εἰπεῖν καλόν. Ὁ μὲν γὰρ 215
θεῖος νόμος αὐτὰς ταύτης ἐξέωσε τῆς λειτουργίας, ἐκεῖναι δὲ
ἑαυτὰς εἰσωθεῖν βιάζονται· καὶ ἐπειδὴ δι' ἑαυτῶν ἰσχύουσιν
οὐδὲν, δι' ἑτέρων πράττουσιν ἅπαντα· καὶ τοσαύτην περιβέ-
βληνται δύναμιν, ὡς τῶν ἱερέων καὶ ἐγκρίνειν καὶ ἐκβάλλειν 13)

---

tempestiva projiciens. quam in sententiam de Cyro et Alexandro Tullius loquitur, quos *suum cursum transcurrisse* dicit. Brut. c. 81. Saepe id verbo *ἐκτραχηλίζειν* exprimit noster, Homill. de David et Saul, et in Ps. 7, et 30. in Acta, et 3. in ep. ad Hebr. etc. [Vid. omnino. Etymol. M. p. 169. ed. Venet. 1710. Xenoph. Cyrop. I, 4, 8. *μικροῦ κἀκεῖνον ἐξετραχήλισεν*, sc. ὁ ἵππος. Cf. Intpp. ad Aristoph. Plut. v. 70. *L.*]

10) *ἡδονήν.* *Isidorus Pelusiota* de sui temporis episcopis plerisque: *Ὡς τὰ πολλὰ τῶν μὲν ἄρχουσι, τοῖς δὲ δουλεύουσι· καὶ τοῖς μὲν ἐπιτάττουσι, τοῖς δὲ ὑπηρετοῦσι· καὶ τοῖς μὲν κακῶς ποιοῦσι, τοῖς δὲ χαρίζονται· τοῖς μὲν ἐπίκεινται, τοῖς δὲ ὑπεπτώκασι· καὶ φοβοῦνται μὲν ἐκείνους, μισοῦνται δὲ ὑπὸ τούτων.* Epist. 125. lib. 2. *Gildae* Sapientis in *Ordinem ecclesiasticum* Castigatio cum multa continet (perinde ut alio loco de Ambrosio diximus) cum hoc Dialogo in sententiis, testimoniis, argumentis convenientia; tum huic loco parem habet enumerationem, qua sub ipsum initium sacerdotes illius temporis notantur *saepius detrahentes, et raro vera dicentes: veritatem pro inimico odientes, et mendaciis ac si charissimis fratribus faventes: justos inopes inanes, quasi angues, torvis vultibus conspicantes; et sceleratos divites absque ullo verecundiae respectu sicut coelestes angelos venerantes.*

11) *χάριτες.* Ante *χάριτες* comma habet *Montef.*

12) *γυναικῶν.* Epist. 33. inter Ambrosianas: *Asperiores tentationes has esse cognovimus, quae fiunt per mulieres.* ubi de simili negotio agitur. Id inprimis expertus est ipse Johannes.

13) *καὶ ἐγκρίνειν καὶ ἐκβάλλειν.* Quae hic dicit Chrysostomus, ea sane serius ipse expertus est, quum Eudoxia, Arcadii imperatoris uxor contra eum saeviret, eumque e munere episcopali expelleret. Cf. Socrat. H. E. VI, 15. Sozomen. VIII, 16. Cf. *Cramer. Leben des h. Joh. Chrysost.* T. I, p. 60. *L.*

216 οὓς ἂν ἐθέλωσι· καὶ τὰ ἄνω[14]) κάτω (τοῦτο δὴ τὸ τῆς παροιμίας[15]) ἔστιν ἰδεῖν γιγνόμενον,) τοὺς ἄρχοντας ἄγουσιν[16]) οἱ ἀρχόμενοι, καὶ εἴθε μὲν ἄνδρες, ἀλλ' αἷς οὐδὲ διδάσκειν ἐπιτέτραπται· τί λέγω διδάσκειν; οὐδὲ λαλεῖν μὲν οὖν αὐταῖς ἐν ἐκκλησίᾳ συνεχώρησεν[17]) ὁ μακάριος Παῦλος. ἐγὼ δέ τινος ἤκουσα λέγοντος, ὅτι καὶ τοσαύτης αὐταῖς μετέδωκαν παῤῥησίας,[18]) ὡς καὶ ἐπιτιμᾶν τοῖς τῶν ἐκκλησιῶν προεστῶσι, καὶ καθάπτεσθαι πικρότερον ἐκείνων, ἢ τῶν ἰδίων οἰκετῶν οἱ δε-
217 σπόται. Καὶ μή με τὶς οἰέσθω πάντας ταῖς εἰρημέναις ὑποβάλλειν αἰτίαις. εἰσὶ γάρ, εἰσὶ πολλοὶ οἱ τούτων ὑπερενεχθέντες τῶν δικτύων, καὶ τῶν ἁλόντων πλείους.

---

14) *τὰ ἄνω κάτω.* Sic, *ἄνω καὶ κάτω ταράττειν.* §. 253. Hoc autem loco videtur absoluta locutio, conf. Not. ad §. 6. ut non necessum sit subaudire, nedum supplere, *ποιοῦσι*, quamvis hoc verbum alibi adjicit Chrysostomus. [Neque ego puto, supplendum esse h. l. verbum aliquod, sed absolute positum videtur hoc proverbium, ut T. VI, p. 275 C. *καὶ πάντα ἄνω καὶ κάτω.* Si tamen aliquod supplendum censeas, supple *γίνεται*, quod sexcenties additur. T. X, p. 669 E. *τὰ ἄνω καὶ κάτω γεγένηται.* et p. 675 B. *πάντα ἄνω καὶ κάτω γενήσεται. L.*]

15) *τὸ τῆς παροιμίας.* Sic 2. Petr. II. 22. [*συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας.* Lucian. Diall. M. VIII, 1. *τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας.* De *παροιμίας* vocabulo cf. Donatum ad Terent. Andr. III, 3. *παροιμία est sine auctore sententia. L.*] In Paroemiis Latinorum formula est, *ut ajunt:* Graecorum, *τὸ τοῦ λόγου*, et, *τὸ λεγόμενον.* Sed hoc loco maluit Johannes dicere, *τὸ τῆς παροιμίας*, credo, quia euphoniae adversatum fuisset illud *λεγόμενον* cum participiis *γιγνόμενον* et *ἀρχόμενοι.* Aristoteles: *ὥσπερ ἡ παροιμία.* 5 Polit. ii. Elegans hoc loco est Paroemia: *τὰ ἄνω κάτω·* sed multas item alias in hoc adhibuit Dialogo Johannes adolescens. Evolve, si juvat, §. 4. 9. 15. 20. 38. 41. 48. 49. 50. 52. 53. 56. 148. 161. 179. 213. 250. 255. 262. 263. 280. 285. 286. 345. 356. 402. 486. 490. 546. 559. 566.

16) *ἄγουσι.* Fertur equis auriga. *Hoeschelius*, ex Marone. *ἅμαξα τὸν βοῦν ἕλκει.*

17) *συνεχώρησεν.* 1. Cor. XIV. 34. 1. Tim. II, 12. *L.*

18) *μετέδωκαν.* Sic Augustanus et Interpres. Interdum reciproca, quae dura sunt prima specie, elegantiam habent. sic, *ἐκβάλλειν ἑαυτόν.* §. 227. Quare neque *Heliodorus* a Ludolpho Kustero in lib. de verbis mediis pag. 66. reprehendi debuit, quod Calasiris lib. 2. Aethiop. c. 6. dicat, *ἔστελλον εἰς ταύτην τὴν πόλιν ἐμαυτόν·* nam is flagitium suum voluntario ultus exilio hoc dicit: ego, puniens, me, puniendum exilio, misi in hanc urbem. Al. *μετέδωκε.* [Male. Non inepte *Bengelius* servavit *μετέδωκαν.* Sensus: *Paulus ne loqui quidem permisit mulierculis in ecclesia. Ipsae vero tantum sibi arrogant*, ut etc. Nihil planius esse potest, quare cur *Hasselbachius* aut *αὐταὶ* legendum censeat, aut *αὐταῖς*, nullo suffragante Codice, prorsus expungendum opinetur, non potui acquirere. *L.*

X. Ἀλλ᾽ οὐδὲ τὴν ἱερωσύνην αἰτιασαίμην ἂν τούτων τῶν 218
κακῶν· μή ποτε οὕτω μανείην ἐγώ. οὔτε γὰρ τὸν σίδηρον
τῶν φόνων, οὔτε τὸν οἶνον τῆς μέθης, οὔτε τὴν ῥώμην τῆς
ὕβρεως, οὔτε τὴν ἀνδρείαν τῆς ἀλόγου τόλμης, ἀλλὰ τοὺς οὐκ
εἰς δέον χρωμένους ταῖς παρὰ τοῦ Θεοῦ δεδομέναις δωρεαῖς,
ἅπαντες οἱ νοῦν ἔχοντες αἰτίους εἶναί φασι καὶ κολάζουσιν.
Ἐπεὶ ἥ γε ἱερωσύνη καὶ [1]) ἐγκαλέσει δικαίως ἡμῖν, οὐκ ὀρθῶς 219
αὐτὴν μεταχειρίζουσιν. οὐ γὰρ αὐτὴ τῶν εἰρημένων ἡμῖν αἰτία
κακῶν· ἀλλ᾽ ἡμεῖς αὐτὴν τοσούτοις, τό γε εἰς ἡμᾶς ἧκον, κατερρυπάναμεν μολυσμοῖς, ἀνθρώποις τοῖς τυχοῦσιν ἐγχειρίζοντες αὐτήν. οἱ δὲ οὔτε τὰς ἑαυτῶν πρότερον καταμαθόντες ψυχὰς, οὔτε εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, δέχονται μὲν προθύμως τὸ διδόμενον, ἡνίκα δ᾽ ἂν εἰς τὸ πράττειν ἔλθωσιν, ὑπὸ τῆς ἀπειρίας σκοτούμενοι, μυρίων ἐμπι-
πλῶσι κακῶν, οὓς ἐπιστεύθησαν λαούς. Τοῦτο δὴ, τοῦτο, 220
ὅπερ καὶ ἐφ᾽ ἡμῶν μικροῦ δεῖν [2]) ἔμελλε γίνεσθαι, εἰ μὴ ταχέως ἡμᾶς ὁ Θεὸς τῶν κινδύνων ἐκείνων ἐξείλκυσε, καὶ τῆς
ἐκκλησίας τῆς αὑτοῦ καὶ τῆς ἡμετέρας φειδόμενος ψυχῆς. Ἢ 221
πόθεν, [3]) εἰπέ μοι, νομίζεις τὰς τοσαύτας ἐν ταῖς ἐκκλησίαις τίκτεσθαι ταραχάς; ἐγὼ μὲν γὰρ οὐδὲ ἄλλοθέν ποθεν, οἶμαι, ἢ ἐκ τοῦ τὰς τῶν προεστώτων αἱρέσεις, καὶ ἐκλογὰς ἁπλῶς καὶ
ὡς ἔτυχε γίνεσθαι. Τὴν γὰρ κεφαλὴν [4]) ἰσχυροτάτην εἶναι 222

---

1) *ἐπεὶ — καί.* *quin etiam.* vid. *Abresch.* *Dilucc.* Thucyd. IV, 80. Xenoph. Memor. III, 12, 6. *L.*

2) *μικροῦ δεῖν.* Ἀντὶ τοῦ δέον. Omittit editio prima δεῖν: et sane μικροῦ et ὀλίγου interdum absolute dicitur.

3) *ἢ πόθεν.* *Ducaeus legit*, ἐπεὶ πόθεν, *quod elegantius et majorem habet emphasin. sic Aristoph. Plut.* [v. 986.] ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί; et in Nub. ἐπεὶ πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ; *Plat. Gorg.* ἐπεὶ ἔρου τινα τούτων. *Thirlby.* [Savilius et quidam Manuscripti ἢ πόθεν. *Montef.* habet ἐπεὶ πόθεν. Utrumque ferri potest. *L.*]

4) *τὴν γὰρ κεφαλὴν ἣν ἰσχ. — ὅτ᾽ ἂν καί.* *Quidam Mss.* εἰ γὰρ κεφαλὴ ἦν ἰσχ. *Unus.* δεῖ γὰρ τὴν κεφαλὴν ἰσχ. *Montef.* Augustanus, ἡ γὰρ κεφαλὴ, ἣν ἰσχ. — ὅ τ᾽ ἂν καί. Alii, τὴν γὰρ κεφαλὴν ἰσχ. — ὅταν δὲ vel ὅταν γάρ. Nostra lectio et varietatum, inter quas media incedit, caussam aperit, et elegantiam habet. Est autem antiptosis, ut in illo, *Λίθον ὃν*, Matth. 21, 42. τὸν ἄρτον ὃν, 1. Cor. 10, 16. [Lectionem Cod. Augustani secutus est *Hasselbachius* in versione vernacula. *Bengelius* legit τὴν κεφαλὴν ἣν etc. Ego exulare jussi illud ἣν, quae vocula facillime ex ultima syllaba praecedentis κεφαλὴν potuit oriri. Eandem nostram lectionem habet etiam *Montefalconius.* *L.*] Caeterum eadem similitudine utitur Ambrosius: *sicut validioribus morbis capite vitiato, reliquum*

ἐχρῆν, ἵνα τοὺς ἐκ τοῦ λοιποῦ σώματος κάτωθεν πεμπομένους ἀτμοὺς πονηροὺς διοικεῖν καὶ εἰς τὸ δέον καθιστᾶν δύνηται, ὅτ' ἂν καὶ καθ' αὑτὴν ἀσθενὴς οὖσα τύχῃ, τὰς νοσοποιοὺς ἐκείνας προσβολὰς ἀποκρούσασθαι μὴ δυναμένη, αὐτή τε ἀσθενεστέρα μᾶλλον, ἥπέρ ἐστι, καθίσταται, καὶ τὸ λοιπὸν μεθ'
223 ἑαυτῆς προσαπόλλυσι σῶμα. ὅπερ ἵνα μὴ καὶ νῦν γένηται, ἐν τῇ τάξει τῶν ποδῶν ἡμᾶς ἐφύλαξεν ὁ Θεός, ἥνπερ καὶ ἐλάχομεν ἐξ ἀρχῆς.

224 Πολλὰ γάρ ἐστιν, ὦ Βασίλειε, πρὸς τοῖς εἰρημένοις, πολλὰ ἕτερα, ἃ τὸν ἱερωμένον ἔχειν χρή, ἡμεῖς δὲ οὐκ ἔχομεν, καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο· πανταχόθεν αὐτῷ τῆς τοῦ
225 πράγματος ἐπιθυμίας καθαρεύειν δεῖ τὴν ψυχήν. ὡς ἐὰν προσπαθῶς [5]) πρὸς ταύτην διακείμενος τύχῃ τὴν ἀρχήν, γενόμενος ἐπ' αὐτῆς ἰσχυροτέραν ἀνάπτει τὴν φλόγα, καὶ κατὰ κράτος ἁλοὺς, ὑπὲρ τοῦ βεβαίαν ἔχειν αὐτὴν μυρία ὑπομένει δεινά, κἂν κολακεῦσαι [6]) δέῃ, κἂν ἀγεννές τι καὶ ἀνάξιον ὑπομεῖναι, [7])
226 κἂν χρήματα ἀναλῶσαι πολλά. ὅτι γὰρ καὶ φόνων τὰς ἐκκλησίας [8]) ἐνέπλησάν [9]) τινες, καὶ πόλεις ἀναστάτους ἐποίησαν,

---

necesse est corpus inundatione superioris morbi letaliter irrigari: ita et hi, qui caput videntur esse ecclesiae, morbo pestifero fraternum vitiant corpus, ut nihil ex totius corporis compage insauciatum possit evadere, quod negligentiam sacerdotum vitiositatis mortale infecent virus. lib. de Dign. sacerd. c. 5.

5) προσπαθῶς. Rarum adverbium.

6) κολακεῦσαι. Quibus artibus utebantur sacerdotes tunc temporis ad munera capessenda, et alios e muneribus dejiciendos vix credi posset, nisi disertissima adessent testimonia. Vid. *Neander d. heil. Joh. Chrys.* T. I, p. 347. „*Chrysostomus sah überhaupt mit grossem Schmerz die Zerrüttungen, welche durch den Einfluss weltlicher Leidenschaften, durch Streit und Eifersucht der Geistlichen, die vielmehr durch Einen Geist zu Einem Zwecke mit einander verbunden sein sollten, in der Kirche angerichtet wurden.* Cf. Homil. XXVII. in 2 ad Cor. ep. *L.*

7) ὑπομένει. Vetus interpres: *pressa cervice patietur.* graviter.

8) τὰς ἐκκλησίας. *Ecclesiae* vocabulo templum hic, ut passim venit. Homil. 33. in Matth. Τότε αἱ οἰκίαι ἐκκλησίαι ἦσαν, νυνὶ δὲ ἡ ἐκκλησία οἰκία γέγονεν. οὐδὲν ἦν τότε ἐν οἰκίᾳ λαλῆσαι βιωτικόν· οὐδέν ἐστι νῦν ἐν ἐκκλησίᾳ πνευματικὸν εἰπεῖν, ἀλλὰ καὶ ἐνταῦθα τὰ ἐκ τῆς ἀγορᾶς ἐπεισάγετε. [Cf. Homil. XXIX. in Acta; οἱ πρόγονοι τὰς ἐκκλησίας ἡμῖν ᾠκοδόμησαν. Euseb. H. E. VIII, c. 1. εὐρείας εἰς πλάτος ἀνὰ πάσας τὰς πόλεις ἐκ θεμελίων ἀνίστων ἐκκλησίας. Plures locos vide ap. *Suicer. Thes. Eccl.* h. v. Possunt tamen ἐκκλησίαι etiam h. l. singulos Christianorum coetus significare. Ita sumsit h. v. *Ritterus*, qui vertit: *Dass einige sogar kämpfend um diese Würde die Kirche mit Mord erfüllt und*

ὑπὲρ ταύτης μαχόμενοι τῆς ἀρχῆς, παρίημι νῦν, μὴ καὶ ἄπιστα [10]) δόξω λέγειν τισίν. Ἐρχῆν δὲ, οἶμαι, τοσαύτην τοῦ 227
πράγματος ἔχειν εὐλάβειαν, ὥς καὶ τὴν ἀρχὴν [11]) ἐκφυγεῖν τὸν

Städte verwüstet haben, übergehe ich jetzt. De re vid. Gregor. Nazianz. Orat. XXI, in laud. S. Athanas., ubi laudatur Athanasius a Gregorio, quod non vi et caede, sed populi applausu et spirituali modo ad munus sacerdotale pervenerit. vid. *Ritter.* l. l. p. 260. *L.*]

9) *ἐνέπλησαν.* Notatur hic *dimicatio* Damasi et Ursicini de episcopatu Romano, quae modo fuerat, puero Johanne, eaque tam cruenta, ut in *basilica* quadam uno die 137. cadavera reperta fuerint. Memorat *Ammianus Marcellinus*, scriptor paganus, libro 27. et ex eo *C. E. Weismannus* cujus est hoc epiphonema: *Ad hanc sane electionem risit infernus, cui hae victimae fuerunt a sacerdotibus non coeli sed inferni immolatae.* H. E. Part. 1. p. 335. [Cf. Rufini H. E. Lib. II: c. 10. Hieron. in Chron. ad Ann. 366. *L.*]

10) *ἄπιστα.* *Incredibilia.* ἄπιστα, *fabulae poetarum.* Locutio proverbialis hoc loco. [Vid. *Fischer.* in Ind. Palaeph. *L.*]

11) *τὴν ἀρχὴν.* Ἀρχὴν (ut ἀκμὴν, Matth. XV. 16.) et *τὴν ἀρχὴν*, §. 118. adverbialiter (pro *εἰς ἀρχὴν*, et *κατὰ τὴν ἀρχὴν*, ut alii supplent, et pro *παρὰ τὴν ἀρχὴν*, ut Noster §. 151. 161.) valet *principio, initio, primo.* inde, in oratione negante, *ἀρχὴν οὐ* valet *omnino non: μηδὲ τὴν ἀρχὴν*, §. 275. 494. valet *ne quidem, μηδ' ὅλως.* §. 331. 403. Hoc quidem extra controversiam est: quare exemplis nil opus, at in oratione affirmante *ἀρχὴν* nunquam valet *ὅλως*, *omnino*, sed semper, *initio.* Discriminis ratio est haec: negato initio, negatur totum; sed posito initio, non statim ponitur totum: uti, *ne littera quidem*, dicitur pro *nulla epistola;* neque tamen *litteram* dicit orator pro *epistola.* Itaque ubicunque *τὴν ἀρχὴν* in oratione affirmante legimus, *initio* pro eo recte ponunt interpretes. Noster, homil. XX. ad pop. Ant. *ἴσμεν, οὗ τὴν ἀρχὴν κατεφύγομεν, scimus ad quem ab initio confugimus.* Plato: *τὴν οὖν ἀρχὴν ὧν εἶπον περὶ προτέρων ἄκουε πρότερον*, *ante omnia etc.* Isocrates: *περὶ ἧς τὴν ἀρχὴν ὑπεθέμην, de qua initio proposui.* idem: *τὴν ἀρχὴν οἱ τὸν φόβον ἡμῖν ἐργασάμενοι τοῦτον. qui ab initio timorem hunc nobis injecerunt.* Herodotus: *ὅσοι ἀρχὴν ἐς τὴν ἀποικίην ἐστάλησαν. quotquot initio missi fuerant in coloniam.* Idem: *ἀρχὴν γὰρ ἐγὼ μηχανήσομαι οὕτως. ab initio enim ego sic machinabor.* Athenaeus: *τὴν δὲ ἀρχὴν, initio autem* etc. in antitheto ad *praesens.* l. 11. c. 7. Nemesius *περὶ φύσ. ἀνθρώπ. Τὴν ἀρχὴν καρτερήσαντες περὶ τὸ τέλος ἀνέδωκαν. initio sumentes, circa finem reddiderunt.* Polybius: *τὰς ἀρχὰς λείας πλῆθος ἤθροισαν. initio praedam multam coegerunt.* Vide etiam LXX. Int. Gen. 41, 21. 43, 18. 20. Dan. 8, 1. et Joh. 8. 25. Nec vereor, ne diverso refellar exemplo. nam ubi sermo ab affirmatione deflectit, et dubitationem, conditionem aut interrogationem habet, eadem ejus ac negantis est ratio. Exempla suppeditat *Jac. Elsnerus* in Observ. N. T. ad Joh. l. c. v. gr. Maximi Tyrii Or. V. *τί δὲ καὶ τὴν ἀρχὴν σεμνὸν, τὸ τ' ἀληθῆ εἰδέναι μηδὲν ὀνήσασθαι μέλλοντας;* et Heliodori l. 9. ineunte. *ὀργὴν τὸ πρᾶγμα ποιησάμενος, εἰ τὴν ἀρχὴν ὅλως ἀντιστῆναι διενοήθησαν.* quibus locis *ὅλος* (eandem vim in interrogatione habens §. 571.) vel subauditum vel etiam *ἐκ παραλλήλου* adjectum, hoc quod asserimus, probat. Hoc quoque dialogi loco *τὴν ἀρχὴν* valere *initio*, antithetum, *μετὰ, post*, confirmat.

ὄγκον· καὶ μετὰ τὸ γενέσθαι ἐν αὐτῇ 12) μὴ περιμένειν τὰς
ἑτέρων κρίσεις, εἴ ποτε συμβαίη καθαίρεσιν ἱκανὸν ἐργάσασθαι
ἁμάρτημα, ἀλλὰ προλαβόντα ἐκβάλλειν 13) ἑαυτὸν τῆς ἀρχῆς·
οὕτω μὲν γὰρ καὶ ἔλεον ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ εἰκὸς
ἦν. τὸ δὲ ἀντέχεσθαι παρὰ τὸ πρέπον τῆς ἀξίας, πάσης ἑαυ-
τὸν ἀποστερεῖν συγγνώμης ἐστὶ καὶ μᾶλλον ἐκκαίειν τοῦ Θεοῦ
τὴν ὀργὴν, δεύτερον χαλεπώτερον προσθέντα πλημμέλημα. ἀλλ᾽
οὐδεὶς ἀνέξεταί ποτε· δεινὸν 14) γὰρ ἀληθῶς, δεινὸν τὸ ταύ-
228 της γλίχεσθαι τῆς τιμῆς. 15) Καὶ οὐ μαχόμενος τῷ μακαρίῳ
Παύλῳ λέγω, ἀλλὰ καὶ πάνυ συνᾴδων αὐτοῦ τοῖς ῥήμασι. τί
γὰρ ἐκεῖνός φησιν; Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔρ-
γου 16) ἐπιθυμεῖ. ἐγὼ δὲ οὐ τοῦ ἔργου, τῆς δὲ αὐθεντίας καὶ
δυναστείας ἐπιθυμεῖν, εἶπον εἶναι δεινόν.
229 XI. Καὶ τοῦτον οἶμαι δεῖν τὸν πόθον πάσῃ σπουδῇ τῆς
ψυχῆς ἐξωθεῖν, καὶ μηδὲ τὴν ἀρχὴν κατασχεθῆναι αὐτὴν ὑπ᾽
αὐτοῦ συγχωρεῖν, ἵνα μετ᾽ ἐλευθερίας ἅπαντα αὐτῷ πράττειν
230 ἐξῇ. Ὁ γὰρ οὐκ ἐπιθυμῶν ἐπὶ ταύτης δειχθῆναι τῆς ἐξου-
σίας, οὐδὲ τὴν καθαίρεσιν 1) αὐτῆς δέδοικεν· οὐ δεδοικὼς δὲ,

---

12) *ἐν αὐτῇ.* Ad τῆς ἀρχῆς (§. praeced.) refert *Thirlby.*

13) *ἐκβάλλειν — ἀρχῆς.* Exempla munerum sacerdotalium abdicationis vide apud Socrat. H. E. V, 7. Cf. *Ritter.* l. l. p. 261 sq. *L.*

14) *δεινόν.* Scil. ἐστί. Ellipsis haec multo frequentior Graecis est, quam Latinis, addito praesertim nomine neutrius generis.

15) *δεινὸν τὸ — τιμῆς.* *Grave est, hunc honorem concupiscere.* Est nempe *γλίχεσθαί τινος*, *vehementi rei cujusdam desiderio flagrare.* Ita Herodot. VIII, 143. ἐλευθερίης γλιχόμενοι, i. e. libertatis quodam ardore flagrantes. Cf. *Gataker.* ad Antonin. IV, 50. p. 136. *Fischer.* ad Plat. Crit. c. XV. p. 212. De constructione verbi vid. *Heinichen.* ad Euseb. H. E. VII, 12. p. 338. *L.*

16) *καλοῦ ἔργου.* [1. Timoth. III, 1.] Ambrosius: *Hoc est, si episcopus esse desideras, magnum est, quod esse cupis, sed si et opus bonum simul amplectaris. nam si aliter esse cupis, episcopus esse non potes.* lib. de Dign. sacerd. c. 4. Isidorus Pelusiota: τὸ τῆς ἐπισκοπῆς καὶ ὄνομα καὶ πρᾶγμα ὀλίγοις τισὶ πρέπει, τοῖς πατρικὴν κηδεμονίαν, ἀλλ᾽ οὐ τυραννικὴν αὐτονομίαν εἶναι αὐτὸ οἰομένοις. Ep. 125. l. 2. Gregorius M. Part. 1. Curae past. cap. 8. *Ipse ergo sibi testis est, quia episcopatum non appetit, qui non per hunc boni operis ministerium, sed honoris gloriam quaerit.* Multa passim de veterum appetitione et fuga sacerdotii collecta extant. Vid. *Leon. Coquaeus* ad Augustin. l. 19. de Civit. c. 19. *Spizelii* felix literatus p. 817 s. *Kortholti Priester-Bürde*, Not. ad num. I. *Zieglerus* de Clerico renitente, *Thirlby* ad Gregorii Naz. Apologet. p. 435 s.

1) *καθαίρεσιν.* Haec quoque frequens erat illis temporibus.

μετὰ τῆς προσηκούσης Χριστιανοῖς ἐλευθερίας, πάντα πράτ-
τειν δύναιτ' ἄν. Ὡς οἵ γε φοβούμενοι καὶ τρέμοντες κατενε- 231
χθῆναι ἐκεῖθεν, πικρὰν ὑπομένουσι δουλείαν καὶ πολλῶν γέ-
μουσαν τῶν κακῶν, καὶ ἀνθρώποις καὶ Θεῷ προσκρούειν
ἀναγκάζονται πολλάκις. Δεῖ δὲ οὐχ οὕτω διακεῖσθαι τὴν ψυ- 232
χήν, ἀλλ' ὥσπερ ἐν τοῖς πολέμοις τοὺς γενναίους τῶν στρα-
τιωτῶν ὁρῶμεν καὶ πολεμοῦντας προθύμως, καὶ πίπτοντας ἀν-
δρείως, οὕτω καὶ τοὺς ἐπὶ ταύτην ἥκοντας τὴν οἰκονομίαν,
καὶ ἱερᾶσθαι καὶ παραλύεσθαι [2]) τῆς ἀρχῆς, ὡς Χριστιανοῖς
ἐστὶ προσῆκον ἀνδράσιν, εἰδότας, ὡς ἡ τοιαύτη καθαίρεσις
οὐκ ἐλάττονα φέρει τῆς ἀρχῆς τὸν στέφανον. Ὅταν γάρ τις, 233
ὑπὲρ τοῦ μηδὲν ἀπρεπὲς μήδ' ἀνάξιόν τι τῆς ἀξίας ὑπομεῖναι
ἐκείνης, πάθῃ τι τοιοῦτον· καὶ τοῖς ἀδίκως καθελοῦσι τὴν
κόλασιν, καὶ αὐτῷ μείζονα προξενεῖ τὸν μισθόν. [3]) Μακά-
ριοι γάρ, φησίν, ἐστὲ, ὅταν ὀνειδίσωσι καὶ διώξωσιν ὑμᾶς, καὶ
εἴπωσι πᾶν πονηρὸν [4]) καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ,
χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι πολύς ἐστιν ὁ μισθὸς ὑμῶν ἐν
τοῖς οὐρανοῖς. Καὶ ταῦτα μὲν ὅταν ὑπὸ τῶν ὁμοταγῶν ἢ 234
διὰ φθόνον, ἢ πρὸς ἑτέρων χάριν, ἢ πρὸς ἀπέχθειαν, ἢ ἑτέρῳ
τινὶ μὴ ὀρθῷ τις ἐκβάλληται λογισμῷ. Ὅταν δὲ καὶ ὑπὸ τῶν 235
ἐναντίων τοῦτο πάσχειν συμβαίνῃ, οὐδὲ λόγου δεῖν οἶμαι πρὸς
τὸ δεῖξαι τὸ κέρδος, ὅσον αὐτῷ διὰ τῆς ἑαυτῶν συλλέγουσι
πονηρίας ἐκεῖνοι. Τοῦτο οὖν δεῖ πανταχόθεν περισκοπεῖν καὶ 236
ἀκριβῶς διερευνᾶσθαι [5]), μή που τὶς σπινθὴρ τῆς ἐπιθυμίας

---

2) *παραλύεσθαι.* Tali robore animi et subiit ipsum exilium Chrysostomus et tulit durissimum. Da, lector, operam, ut evolvas Homiliam ejus plane heroicam *imminente exilio* habitam, et *Epistolam* 125. aliasque, quas etiam excerpsit *Joh. Heinichius* Hist. Eccl. Part. II. pag. 370 seq. [Vid. *Neander, d. heil. Joh. Chrys.* T. II, p. 204 sqq. *L.*]

3) *προξενεῖ τὸν μισθόν.* Alii *προξενεῖ τὴν τιμήν.* tantundem. Est vero *προξενεῖν* verbum proprium de officio hospitis publici, *τοῦ προξένου*, qui alius civitatis cives in sua excipiebat, deinde inter alia notat, *alicui aliquid conciliare.* Cf. Soph. Oed. Tyr. v. 1470. *τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα.* Eurip. Jon. v. 335. *λέγοις ἄν· ἡμεῖς δ' ἄλλα προξενήσομεν.* Soph. Oed. Colon. v. 465. *ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξένει.* ubi Scholiastes dicit: *προξένει· πάρεχε, ἤγουν λέγε μοι, ὡς φῄς, τὰ χρήσιμα.* Cf. *Buttmanni* Ind. ad Platon. Diall. IV. h. v. *L.*

4) *πᾶν πονηρὸν.* Sic Erasmus et vet. int. *ῥῆμα* addunt ceteri, ex Matth. 5, 11.

5) *διερευνᾶσθαι.* *Montefalc.* habet *διερευνᾷν.* Mox alii *ἐντυφόμενος*, ut *Bengel*, alii *ἐντυφώμενος*, quod ferri nequit. *L.*

237 ἐκείνης ἐντυφόμενος 6) λάθη. Ἀγαπητὸν 7) γὰρ καὶ τοὺς ἐξ
ἀρχῆς καθαρεύοντας τοῦ πάθους, ἡνίκα ἂν ἐμπέσωσιν εἰς τὴν
ἀρχὴν, δυνηθῆναι τοῦτο διαφυγεῖν· εἰ δέ τις καὶ πρὶν ἢ τυ-
χεῖν τῆς τιμῆς, τρέφει παρ᾽ ἑαυτῷ τὸ δεινὸν καὶ ἀπηνὲς τοῦτο
θηρίον, οὐδέ ἐστιν εἰπεῖν, εἰς ὅσην ἑαυτὸν ἐμβαλεῖ κάμινον 8)
238 μετὰ τὸ τυχεῖν. Ἡμεῖς δὲ (καὶ μή τοι νομίσῃς μετριάζοντας
ἡμᾶς ἐθελῆσαι ἄν ποτε ψεύσασθαι πρὸς σὲ,) πολλὴν ταύτην
κεκτήμεθα τὴν ἐπιθυμίαν· καὶ μετὰ τῶν ἄλλων ἁπάντων, οὐχ
ἧττον ἡμᾶς καὶ τοῦτο ἐφόβησε καὶ πρὸς ταύτην ἔτρεψε τὴν
239 φυγήν. Καθάπερ γὰρ οἱ σωμάτων ἐρῶντες, ἕως μὲν ἂν πλη-
σίον εἶναι τῶν ἐρωμένων ἐξῇ, χαλεπωτέραν τοῦ πάθους τὴν
βάσανον ἔχουσιν· ὅταν δὲ ὡς ποῤῥωτάτω 9) τῶν ποθουμένων
ἑαυτοὺς ἀπαγάγωσι, καὶ τὴν μανίαν ἀπήλασαν· οὕτω καὶ
τοῖς ταύτης ἐπιθυμοῦσι τῆς ἀρχῆς, ὅταν μὲν πλησίον αὐτῆς
γένωνται, ἀφόρητον γίγνεται τὸ κακόν· ὅταν δὲ ἀπελπίσωσι,
240 καὶ τὴν ἐπιθυμίαν μετὰ τῆς προσδοκίας ἔσβεσαν. Μία μὲν
οὖν αὕτη πρόφασις οὐ μικρά. ἀλλὰ καὶ εἰ μόνη καθ᾽ ἑαυτὴν
οὖσα ἐτύγχανεν, ἱκανὴ ταύτης ἡμᾶς ἀπεῖρξαι τῆς ἀξίας.

---

6) *ἐντυφόμενος λάθῃ.* Sic, *ἐλάνθανον ἐπιθείς.* §. 49. Collatis inter se his duobus locis, apparet, cum hoc verbo interdum pronomen personale, interdum reciprocum ἐλλείπειν. Estque hypallage, qualis illa, *ἦλθον ἔχουσα*, pro *εἶχον ἐλθοῦσα.* §. 17.

7) *ἀγαπητόν.* Sic §. 128. 255. et saepe *Herodianus.* Adverbio etiam utitur Alciphron: *Εἰς ἁλιέα δύστηνον ἀγαπητῶς τὴν ἀναγκαίαν ἐκπορίζοντα διατροφὴν ἔρως ἐνέσκηψε.* pag. 54. In eandem sententiam ponitur verbum *ἀγαπῶ* cum dativo, id est, *ἀρκοῦμαι.* §. 570. [Nos contentos esse oportet, *quando ii, qui ab initio puri erant cupiditate* (sc. imperandi), *eandem fugiunt quoque, ubi ad imperium pervenerunt.* Male vertit *Ritterus: Eine herrliche Sache ist es,* etc. Rectius *Hasselbach: Man muss zufrieden seyn, wenn, die Anfangs rein waren von der Leidenschaft, nachdem sie in das Amt gerathen, derselben entgehen können.* *Ἀγαπᾷν* enim et *ἀγαπητῶς ἔχειν*, apud optimos scriptores est *contentum esse aliqua re.* Vid. *Heindorf.* ad Plat. Eythyd. p. 306. *L.*]

8) *κάμινον.* Ambrosius: *Acquisivit indebitum ordinem; et Deum perdidit in interiore homine. Caro suscepit dignitatem; et anima perdidit honestatem. Caro ancilla, domina facta est animae; et anima, quae erat domina, facta est famula carni. Caro dominatur populis; et anima servit daemoni. Caro sacerdotium comparavit; et animae detrimentum paravit.* lib. de Dign. sacerd. c. 5. — *Κάμινος* respondet τῷ *σπινθῆρι.* §. 236. *φλόγα.* §. 225.

9) *ὡς ποῤῥωτάτω.* *ut Chaerea ille Terentianus.* *ὅσον γὰρ ἀπὸ ὀφθαλμῶν, τοσοῦτον καὶ ἀπὸ καρδίας,* *inquit.* Damascen. contra Manich. *Hoeschelius.* Germ. *Aus den Augen, aus dem Sinn.* Graecis, *ἀπενιαυτίσαι.*

XII. *Νῦν δὲ καὶ ἑτέρα ταύτης οὐχ ἧττον προστέθειται.* 241
τίς δέ ἐστιν αὕτη; Νηφάλιον [1]) *εἶναι δεῖ τὸν ἱερέα, καὶ διορα-*
τικὸν, καὶ μυρίους πανταχόθεν κεκτῆσθαι τοὺς ὀφθαλμοὺς,
ὡς οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ πλήθει ζῶντα τοσούτῳ. Ἡμεῖς 242
δὲ ὅτι νωθροὶ καὶ παρειμένοι καὶ πρὸς τὴν ἑαυτῶν μόλις ἀρ-
κοῦντες σωτηρίαν, καὶ αὐτὸς ἂν ὁμολογήσειας, ὁ μάλιστα πάν-
των τὰ ἡμέτερα, διὰ τὸ φιλεῖν, κρύπτειν σπουδάζων κακά.
Μὴ γάρ μοι νηστείαν ἐνταῦθα εἴπῃς, μηδὲ ἀγρυπνίαν, μηδὲ 243
χαμευνίαν [2]) *καὶ τὴν λοιπὴν τοῦ σώματος σκληραγωγίαν.* [3])
καὶ τούτων μὲν γὰρ ὅσον ἀπέχομεν, [4]) *οἶδας· εἰ δὲ καὶ εἰς*
ἀκρίβειαν ἡμῖν κατώρθωτο, οὐδὲ οὕτως μετὰ τῆς παρούσης νω-
θρότητος ἴσχυσεν ἄν τι πρὸς τὴν ἐπιστασίαν ἡμᾶς ταῦτα ὠφε-
λῆσαι ἐκείνην. Ἀνθρώπῳ μὲν γὰρ εἰς οἰκίσκον τινὰ κατακλει- 244
σθέντι, καὶ τὰ αὐτοῦ [5]) *μεριμνῶντι μόνον, πολλὴν ἂν ταῦτα*
καὶ κοινωνικὸν, καὶ ἀδέκαστον καὶ θεραπευτικὸν, καὶ ταπεινὸν καὶ ἀδούλωτον, καὶ σφοδρὸν καὶ ἥμερον εἶναι δεῖ· ἵνα πρὸς ἅπαντα ταῦτα εὐκόλως μάχεσθαι δύνηται, καὶ τὸν ἐπιτήδειον μετὰ πολλῆς τῆς ἐξουσίας, κἂν ἅπαντες ἀντιπίπτωσι, παράγειν, καὶ τὸν οὐ τοιοῦτον μετὰ τῆς αὐτῆς ἐξουσίας, κἂν ἅπαντες συμπνέωσι, μὴ προσίεσθαι, ἀλλ' εἰς ἓν μόνον ὁρᾷν, τῆς ἐκκλησίας τὴν οἰκοδομὴν, καὶ μηδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιεῖν.

Ἆρά σοι δοκοῦμεν εἰκότως παρῃτῆσθαι τοῦ πράγματος 293
τούτου τὴν διακονίαν; καί τοί γε οὔπω πάντα διῆλθον πρὸς
σὲ, ἔχω γὰρ καὶ ἕτερα λέγειν. ἀλλὰ μὴ ἀποκάμῃς ἀνδρὸς φί-
λου καὶ γνησίου, βουλομένου σε πείθειν,[4]) ὑπὲρ ὧν ἐγκαλεῖς,
ἀνεχόμενος. Οὐδὲ γὰρ πρὸς τὴν ἀπολογίαν σοὶ τὴν ὑπὲρ ἡμῶν
ταῦτα χρήσιμά ἐστι[5]) μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τοῦ πρά-
γματος τὴν διοίκησιν τάχα οὐ μικρὸν συμβαλεῖται κέρδος. Καὶ 294
γὰρ ἀναγκαῖον, τὸν μέλλοντα ἐπὶ ταύτην ἔρχεσθαι τοῦ βίου
τὴν ὁδὸν, πρότερον ἅπαντα διερευνησάμενον καλῶς, οὕτως
ἅψασθαι τῆς διακονίας. τί δήποτε; ὅτι εἰ καὶ μηδὲν ἄλλο, τὸ
γοῦν μὴ ξενοπαθεῖν, ἡνίκα ἂν ταῦτα προσπίπτῃ, περιέσται
πάντα εἰδότι σαφῶς.[6]) Βούλει οὖν ἐπὶ τὴν τῶν χηρῶν προ- 295
στασίαν ἴωμεν πρότερον, ἢ τὴν τῶν παρθένων κηδεμονίαν,[7])
ἢ τοῦ δικαστικοῦ μέρους[8]) τὴν δυσχέρειαν; καὶ γὰρ ἐφ' ἑκά-
στου τούτων διάφορος ἡ φροντὶς, καὶ τῆς φροντίδος μείζων
ὁ φόβος. Καὶ πρῶτον, ἵνα ἀπὸ τοῦ τῶν ἄλλων εὐτελεστέρου 296
δοκοῦντος εἶναι ποιησώμεθα τὴν ἀρχὴν, ἡ τῶν χηρῶν θερα-

ταπεινὸν καὶ ἀδούλωτον, bene haec sibi opponuntur, *demüthig und doch nicht sclavisch*. — *σφοδρὸς καὶ ἥμερος*, *ernst und doch gelind*, ἥμερος nimirum dicitur proprie de animalibus, et opponitur ἄγριος. Vid. Xenoph. Cyrop. I, 3, 6. *L.*]

4) *πείθειν*. Eodem sensu verbum hoc ponitur §. 55. 118. 462.

5) *ἔστι — συμβαλεῖται*. Lectio media. unde alii ἔσται — συμβαλεῖται. alii: ἔστι — συμβάλλεται.

6) *εἰδότι σαφῶς*. Sensus: Hoc certe lucrum habebit, qui omnia bene perspexerit, ut novi aliquid, haec cum acciderint, sibi non putet accidisse. *L.*

7) *κηδεμονίαν*. Vid. hac de re *Schroeckh's christl. K. G.* Tom. X, p. 268 sq. *L.*

8) *τοῦ δικαστικοῦ μέρους τὴν δυσχέρειαν*. Jam sub ethnicorum imperatorum imperio jurisdictionem celebrabant episcopi Christiani. Serius ab ipsis imperatoribus iis haec provincia demandabatur. Prolixius de hac re exposuit *Schroeckh*. l. l. Tom. VIII, p. 33 sqq. *L.*

πεία, δοκεῖ μὲν μέχρι τῆς τῶν χρημάτων δαπάνης τοῖς ἐπι-
μελουμένοις αὐτῶν παρέχειν φροντίδα· 9) τὸ δὲ οὐ τοιοῦτόν
ἐστιν, ἀλλὰ πολλῆς δεῖ κἀνταῦθα τῆς ἐξετάσεως, ὅτ' ἂν αὐ-
297 τὰς καταλέγειν δέῃ· ὡς τό γε ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὰς
ἐγγράφεσθαι, 10) μυρία εἰργάσατο δεινά. Καὶ γὰρ οἴκους διέ-
φθειραν 11) καὶ γάμους διέσπασαν, καὶ ἐπὶ κλοπαῖς πολλάκις
καὶ καπηλείαις, 12) καὶ ἕτερα τοιαῦτα 13) ἀσχημονοῦσαι ἑάλω-

9) *παρέχειν φροντίδα.* *Cramerus* l. l. ad h. l. pag. 108 haec scripsit: „*Es gehörte vordem unter die Pflichten der Bischöfe, für die Erhaltung der Armen und vornehmlich der Wittwen zu sorgen. Dazu waren die Schätze der Kirche gewidmet. Man kann davon weitläufiger des Fra Paolo traité des benefices nachsehen, welches Amelot de la Houssaie mit schönen Anmerkungen herausgegeben hat.*“ Numerus ejusmodi viduarum ab ecclesiis singulis alendarum saepius permagnus erat. Cf. Euseb. H. E. VI, 43. qui narrat, sub Cornelio, episcopo Romano, fuisse Romae *χήρας σὺν θλιβομένοις ὑπὲρ τὰς χιλίας πεντακοσίας*, et animadvertit ad hunc locum *Valesius* T. II, p. 273. „Johannes Chrysostomus in homil. 67. in Matthaeum ait, ecclesiam Antiochenam sua aetate, tametsi mediocres reditus possideret, plus quam tria millia viduarum et virginum aluisse quotidie, praeter hospites leprosos et vinctos.“ *L.*

10) *ἐγγράφεσθαι.* Vetus interpres: *ecclesiasticis Brevibus adscribuntur.* Catalogum denotat *Brevis* vel *Breve*. Vide *Laurentii Bauckii* Notas ad Taxam Cancell. Apost. p. 317. [*ἐγγράφεσθαι*, referre in catalogum viduarum publicis sumtibus alendarum. Paulus, qui utitur hac de re verbo *καταλέγειν* 1. Timoth. V, 9., ipse etiam curam et sollicitudinem suadet in eligendis viduis Timotheo suo. De his viduis, quae etiam *πρεσβύτιδες, πρεσβύτεραι, πρεσβυτερίδες* vocabantur, scribit Tertullian. de vel. virgin. cap. 9. haecce: „*Ad quam sedem (viduarum) praeter annos LX non tantum univirae, i. e. nuptae aliquando, eliguntur, sed et matres, et quidem educatrices filiorum; scilicet ut experimentis omnium affectuum structae facile norint ceteras et consilio et solatio juvare, et ut nihilominus ea decucurrerint, per quae foemina probari potest.*“ Hieronym. ad Nepotian. „*Multas anus alit ecclesia, quae officium aegrotanti praestant, et beneficium accipiunt ministrando.*“ Vocabantur hae viduae, quia in album seu matriculam nomina earum referebantur, *matricalariae*. Vid. Dionys. Exig. in versione Canon. XI. Conc. Laodic. „*Mulieres, quae apud Graecos Presbyterae appellantur*, apud nos autem viduae seniores, univirae et matriculariae nominantur. *L.*]

11) *οἴκους διέφθειραν.* Id scilicet postea fecerunt, quam adscriptae essent. Phrasis, *οἴκους διέφθειραν*, late patet. *οἰκοφθόρος*, alias *decoctor*, Hesychio *moechus*. Et quos Ignatius *οἰκοφθόρους* vocat, ad Eph. §. 16. apud paraphrasten ejus sunt *οἱ τοὺς ἀνθρωπίνους οἴκους διαφθείροντες*· Isaaco Vossio, *qui in aliorum liberos contra naturam peccant.* [Vid. *Pearson.* Annott. in Epp. Ignatii. Tom. II, pag. 254. ed. *Frey. L.*] Hoc loco viduae *domos corrumpere* dici videntur, quae juventutem ingenuam ad turpes amores pelliciunt.

12) *καπηλείαις.* Quaestu promercali quocunque, vel etiam lenonino. [*Καπηλεῖαι* sunt quaestus *cauponii*. Est nimirum

σαν. [14]) τὸ δὲ τὰς τοιαύτας ἀπὸ τῶν τῆς ἐκκλησίας τρέφε- 298
σθαι χρημάτων, καὶ παρὰ Θεοῦ τιμωρίαν καὶ παρὰ ἀνθρώ-
πων φέρει τὴν ἐσχάτην κατάγνωσιν, καὶ τοὺς εὖ ποιεῖν βου-
λομένους ὀκνηροτέρους καθίστησι. τίς γὰρ ἂν ἕλοιτό ποτε, ἃ
τῷ Χριστῷ προσετάχθη δοῦναι χρήματα, ταῦτα ἀναλίσκειν
εἰς τοὺς τὸ τοῦ Χριστοῦ διαβάλλοντας ὄνομα; Διὰ ταῦτα 299
πολλὴν δεῖ καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέτασιν, ὥστε μὴ μό-
νον τὰς εἰρημένας, ἀλλὰ μηδὲ τὰς ἑαυταῖς ἐπαρκεῖν δυναμέ-
νας τὴν τῶν ἀδυνάτων λυμαίνεσθαι τράπεζαν. Μετὰ δὲ τὴν 300
ἐξέτασιν ταύτην, ἑτέρα διαδέχεται φροντὶς οὐ μικρά; ἵνα αὐ-
ταῖς τὰ τῆς τροφῆς ἀθρόως, ὥσπερ ἐκ πηγῶν, ἐπιῤῥέῃ καὶ
μὴ διαλιμπάνῃ ποτέ. Καὶ γὰρ ἀκόρεστόν πως κακὸν ἡ ἀκού-
σιος πενία, καὶ μεμψίμοιρον, [15]) καὶ ἀχάριστον· καὶ δεῖ πολ-
λῆς μὲν τῆς συνέσεως, πολλῆς δὲ τῆς σπουδῆς, ὥστε αὐτῶν
ἐμφράττειν τὰ στόματα, πᾶσαν ἐξαιροῦντα κατηγορίας πρό-
φασιν. Οἱ μὲν οὖν πολλοὶ, ὅτ᾽ ἄν τινα ἴδωσι χρημάτων κρείτ- 301
τονα, εὐθέως αὐτὸν ἐπιτήδειον εἶναι πρὸς ταύτην ἀποφαίνον-
ται τὴν οἰκονομίαν· ἐγὼ δὲ οὐχ ἡγοῦμαί ποτε ταύτην αὐτῷ
τὴν μεγαλοψυχίαν ἀρκεῖν μόνην, ἀλλὰ δεῖ μὲν αὐτὴν [16]) πρὸ
τῶν ἄλλων (χωρὶς γὰρ ταύτης λυμεὼν [17]) ἂν εἴη μᾶλλον ἢ

καπηλεία proprie eorum, qui in foro desident, ut quae ab aliis importentur, vel quae a sellulariis in ipsa urbe fabricentur, emant et vendant, quales homines fere *cociones* dicuntur. Vid. *Salmas. de usuris* p. 335 seq. et p. 510. Jam quum caupones plerumque turpis lucri sint studiosissimi, hinc notat *καπήλεια* per metaphoram quaestum quemcunque non omnino honestum. Cf. Plato de republ. II, 371. Polit. p. 260 c. De Legg. VIII, p. 849 d. et *Valckenaer.* post *oratt. Hemst. et Valckenar.* etc. p. 409 sqq. *L.*]

13) *ἕτερα τοιαῦτα.* Lectio media, unde alii *ἑτέροις τοιούτοις*· alii, *πρὸς ἕτερα τοιαῦτα.* sic *πολλὰ τοιαῦτα ἀσχημονεῖν.* §. 486.

14) *ἑάλωσαν.* Saepe hoc verbum, subaudito pronomine reciproco, sub forma neutra passivam vim habet. §. 217. 225. 451. 580. [Cf. Lucian. Charon. §. 13. *Κροῖσον ἁλῶναι ὑπὸ Κύρου.* Vid. de hoc verbo *Viger.* p. 179. ibique *Hoogeveen.* et. *Fischer.* ad *Wellerum.* III, p. 26 sqq. *L.*]

15) *μεμψίμοιρος,* vid. de hoc voc., quod *querulum* notat, Intpp. ad Lucian. Tim. §. 43. *L.*

16) *δεῖ μὲν αὐτὴν — ζητεῖν:* Sinceram hanc lectionem habet editio prima. *αὐτὴν* pendet e *κεκτημένος.* Tota oratio suavissime suspensa, usquedum *ἀνεξικακίαν* ipsam appellat. [*Hasselbach.* scribendum duxit: *δεῖ μὲν αὐτὴν πρὸ τῶν ἄλλων*, et paulo post: *μετὰ μὲν ταύτην.* At verba tali medela non indigere videntur. *L.*]

17) *λυμεὼν, perditor.* Xenoph. Hier. VI, 6. *φόβος, τῶν ἡδέων λυμεών.* Diodor. Sic. Tom. IV, p. 201. ed. Bipont. *λυμεὼν καὶ προδότης τῆς Ἑλλάδος.* Suidas: *λυμεὼν, ὁ φθορεύς.* Cf. 4. Maccab. LVIII, 8. et Schol. Soph. Ajac. v. 573. *L.*

προστάτης, καὶ λύκος ἀντὶ ποιμένος) μετὰ δὲ αὐτῆς καὶ ἑτέραν ζητεῖν εἰ κεκτημένος τυγχάνοι. Αὕτη δέ ἐστιν ἡ πάντων αἰτία [18]) ἀνθρώποις τῶν ἀγαθῶν, ἀνεξικακία, ὥσπερ εἴς τινα εὔδιον λιμένα ὁρμίζουσα καὶ παραπέμπουσα [19]) τὴν ψυχήν.
302 Τὸ γὰρ τῶν χηρῶν γένος καὶ διὰ τὴν πενίαν, καὶ διὰ τὴν φύσιν ἀμέτρῳ τινὶ κέχρηνται παῤῥησίᾳ (οὕτω γὰρ ἄμεινον εἰπεῖν) καὶ βοῶσιν ἀκαίρως, καὶ αἰτιῶνται μάτην, καὶ ἀποδύρονται [20]) ὑπὲρ ὧν χάριν εἰδέναι ἐχρῆν, καὶ κατηγοροῦσιν ὑπὲρ ὧν ἀποδέχεσθαι ἔδει. καὶ δεῖ τὸν προεστῶτα ἅπαντα φέρειν γενναίως, καὶ μήτε πρὸς τὰς ἀκαίρους ἐνοχλήσεις, μήτε πρὸς
303 τὰς ἀλόγους παροξύνεσθαι μέμψεις. Ἐλεεῖσθαι [21]) γὰρ ἐκεῖνο τὸ γένος, ὑπὲρ ὧν δυστυχοῦσιν, οὐχ ὑβρίζεσθαι, δίκαιον· ὡς [22]) τόγε ἐπεμβαίνειν αὐτῶν ταῖς συμφοραῖς, καὶ τῇ διὰ τὴν πενίαν ὀδύνῃ τὴν ἀπὸ τῆς ὕβρεως προστιθέναι, τῆς ἐσχάτης
304 ὠμότητος ἂν εἴη. Διὰ τοῦτο καί τις ἀνὴρ σοφώτατος, [23]) εἴς τε τὸ φιλοκερδὲς καὶ τὸ ὑπεροπτικὸν τῆς ἀνθρωπίνης φύσεως ἀπιδὼν, καὶ τῆς πενίας τὴν φύσιν [24]) καταμαθὼν, δεινὴν οὖσαν καὶ τὴν γενναιοτάτην ψυχὴν καταβαλεῖν, καὶ πεῖσαι περὶ τῶν αὐτῶν ἀναισχυντεῖν πολλάκις· ἵνα μή τις αἰτούμενος παρ' αὐτῶν ὀργίζηται, μηδὲ τῷ συνεχεῖ τῶν ἐντεύξεως παροξυνθεὶς πολέμιος, ὁ βοηθεῖν ὀφείλων, γίνηται· παρασκευάζει προσηνῆ τε αὐτὸν καὶ εὐπρόσιτον εἶναι τῷ δεομένῳ, λέγων· Κλῖ-

---

18) *αἰτία.* Inter Chrysostomi dicta, flosculorum instar fragrantia, hoc ipsum excerpsit *H. Kromayerus* Hist. ecc. p. 199. et *V. Strigelius* Hypomn. ad N. T. P. I. pag. 56. in quibus frequenter hunc Dialogum citat.

19) *καὶ παραπέμπουσα.* Hoc non habet ed. prima, nec Augustanus.

20) *ἀποδύρονται.* 3. Maccab. IV, 12. *ἀποδύρεσθαι τὴν ἀκλεᾶ τῶν ἀδελφῶν ταλαιπωρίαν*, deplorare miseriam fratrum probrosam. Vid. Alciphron. I, 35. 38. *L.*

21) *ἐλεεῖσθαι. Clementer tractari:* Conf. S. Judae ep. v. 22. et infra, §. 589. [vid. *Wahl.* in Clav. N. T. *L.*]

22) *ὡς, quare.* §. 225. 297. 309.

23) *τὶς ἀνὴρ σοφώτατος.* Ita laudat Siracidem, ut non videatur statutum habuisse, quantum auctoritatis haberet liber ejus.

24) *φύσιν.* Prudenter notat Chrysostomus et hominum ingenium, et pauperum mores hoc loco, et alibi divitum, et passim omnium generum, cleri, populi, principum, magistratuum, patrumfamilias, aegrotorum, mulierum, viduarum, suorum temporum, amici sui, et, quod maximum est, suos ipsius: ut hic Dialogus non minimam *doctrinae moralis semioticae* partem alat; quam oratori ecclesiastico vehementer esse utilem, censet *Schraderus* Comm. in Rhet. Aristot. p. 367 seq.

νον πτωχῷ [25]) ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πραότητι εἰρηνικά. καὶ τὸν παροξύνοντα ἀφεὶς, τί γὰρ ἄν τις τῷ κειμένῳ λέγοι; τῷ δυναμένῳ τὴν ἐκείνου φέρειν ἀσθένειαν διαλέγεται, παρακαλῶν, τῷ τε ἡμέρῳ τῆς ὄψεως καὶ τῇ τῶν λόγων πραότητι πρὸ τῆς δόσεως αὐτὸν ἀνορθοῦν. Ἂν δέ τις 305
τὰ μὲν ἐκείνων μὴ λαμβάνῃ, μυρίοις δὲ αὐτὰς ὀνείδεσι περιβάλλῃ, καὶ ὑβρίζῃ, καὶ παροξύνηται κατ᾽ αὐτῶν· οὐ μόνον οὐκ ἐπεκούφισε τὴν ἀπὸ τῆς πενίας ἀθυμίαν τῷ δοῦναι, [26]) ἀλλὰ καὶ μεῖζον ταῖς λοιδορίαις εἰργάσατο τὸ δεινόν. Κἂν γὰρ 306
λίαν ἀναισχυντεῖν βιάζωνται διὰ τὴν τῆς γαστρὸς ἀνάγκην, ἀλλ᾽ ὅμως ἀλγοῦσιν ἐπὶ τῇ βίᾳ ταύτῃ. ὅτ᾽ ἂν οὖν διὰ μὲν τὸ τοῦ λιμοῦ δέος προσαιτεῖν ἀναγκάζωνται, διὰ δὲ τὸ προσαιτεῖν ἀναιδεύεσθαι, διὰ δὲ τὸ ἀναιδεύεσθαι πάλιν ὑβρίζωνται· ποικίλη τις καὶ πολὺν φέρουσα τὸν ζόφον ἐπὶ τὴν ψυχὴν ἐκείνων κατασκήπτει τῆς ἀθυμίας ἡ δύναμις. Καὶ δεῖ τὸν τού- 307
των ἐπιμελούμενον ἐπὶ τοσοῦτον εἶναι μακρόθυμον, ὡς μὴ μόνον αὐταῖς μὴ πλεονάζειν τὴν ἀθυμίαν ταῖς ἀγανακτήσεσιν, [27]) ἀλλὰ καὶ τῆς οὔσης [28]) τὸ πλέον κοιμίζειν διὰ τῆς παρακλήσεως. ὥσπερ γὰρ ἐκεῖνος [29]) ὁ ὑβρισθεὶς ἐν πολλῇ περιουσίᾳ [30]) οὐκ αἰσθάνεται τῆς ἀπὸ τῶν χρημάτων ὠφελείας, διὰ τὴν ἀπὸ τῆς ὕβρεως πληγήν· οὕτως οὗτος [31]) ἃ

---

25) *κλῖνον πτωχῷ.* Sirac. IV, 8. Memoriter tamen citasse videtur Chrys. hunc locum. Nam in exemplaribus Sirac. non solum deest *ἀλύπως*, sed etiam verba ultima commatis ita audiunt: *καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι. L.*

26) *τῷ δοῦναι.* Alii *τῷ μὴ δοῦναι*, quae tamen lectio sine dubio a manu emendatrice profecta est. *L.*

27) *ἀγανάκτησις* est, quod nos dicimus, *der Unwille*, ut *ἀγανακτεῖν*, *indigne ferre.* Platon. Crito. I. *καὶ γὰρ ἂν πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν*, quo in loco opponitur *ῥᾳδίως καὶ πράως φέρειν.* Cf. **Fischer.** ind. Aesch. Socrat. s. v. *ἀγανακτεῖν. L.*

28) *τῆς οὔσης.* sc. *ἀθυμίας.* Sensus: Non sufficit, eum, qui viduarum curam gerit, non augere earum tristitiam sua iracundia, imo leniat partem tristitiae illius suo solatio. *Κοιμίζειν* est *sopire.* Xenoph. Symp. II, 24. *ὁ οἶνος τὰς λύπας, ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους κοιμίζει.*

29) *ὥσπερ γὰρ ἐκεῖνος.* Hunc quoque locum in Electa illa sua retulit *Henichius.*

30) *περιουσίᾳ*, scil. *τῆς ἐκκλησίας.* §. 311. [*περιουσία* est *abundantia, copia.* Diodor. Sic. XX, 59. Thucyd. II, 13. Aelian. V. H. IV, 19. Herodian. III, 13, 10. *L.*]

31) *οὕτως οὗτος.* Nil hic peccatum contra euphoniam. *οὕτω καὶ οὗτος.* Homil. 6. c. Jud. et §. 266. Omnibus his locis *οὗτος* et *ἐκεῖνος* antitheton faciunt.

προσηνῆ λόγον ἀκούσας, καὶ μετὰ παρακλήσεως τὸ διδόμενον δεξάμενος, γάνυται [32]) *πλέον καὶ χαίρει, καὶ διπλοῦν* [33]) *αὐτῷ*
308 *τὸ δοθὲν τῷ τρόπῳ γίγνεται. Καὶ ταῦτα οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ἀπ' ἐκείνου τοῦ τὰ πρότερα παραινέσαντος φθέγγομαι· Τέκνον* [34]) *γάρ, φησίν, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον, καὶ ἐν πάσῃ δόσει λύπην λόγου.* [35]) *οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; οὕτω κρεῖσσον λόγος ἢ δόσις. Ἰδοὺ γὰρ λόγος ὑπὲρ δόμα* [36]) *ἀγα-*
309 *θόν, καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ.* [37]) *Οὐκ ἐπιεικῆ δὲ μόνον καὶ ἀνεξίκακον τὸν τούτων προστάτην, ἀλλὰ καὶ οἰκονομικὸν οὐχ ἧττον εἶναι χρή· ὡς ἐὰν τοῦτο ἀπῇ, πάλιν εἰς τὴν ἴσην περιίσταται ζημίαν τὰ τῶν πενήτων χρήματα.*
310 *Ἤδη γάρ τις ταύτην πιστευθεὶς τὴν διακονίαν, καὶ χρυσὸν συναγαγὼν πολύν, αὐτὸς μὲν οὐ κατέφαγεν, ἀλλ' οὐδὲ εἰς τοὺς δεομένους, πλὴν ὀλίγων,* [38]) *ἀνάλωσε, τὸ δὲ πλέον κατορύ-*

---

32) *γάνυται.* Ganniunt canes gestientes ob heroum adventum; ut apud Lucretium: gannitu vocis adulant. et Homero *γάνυσθαι* semper est gestu quodam oris exprimere gaudium ob amici aut alicujus cari adventum. *Scaliger* ad Varr. pag. 155. [*γάνυμαι* est verbum Homericum. Iliad. XIV, 504. XX, 405. Odyss. XII, 43. Explicatur hoc verbum a Xenophonte in Conviv. VIII, 30. per *ἥδεσθαι.* Verba Xenophontis haec sunt: *Ἔστι μὲν γὰρ δήπου καὶ Ὁμήρῳ, — — — γάνυται δέ τ' ἀκούων· Τοῦτο δὲ φράζει, ὅτι ἥδεται δέ τ' ἀκούων. L.*]

33) *διπλοῦν.* Similiter dicit Cicero de Off. II, 9. „Sed est alius quoque quidam aditus ad multitudinem, ut in universorum animos tanquam influere possimus. Ac primum de illis tribus, quae ante dixi, benevolentiae praecepta videamus; quae quidem beneficiis capitur maxime: *secundo autem loco benefica voluntate benevolentia movetur, etiamsi res forte non suppetit.*" *L.*

34) *τέκνον.* Jes. Siracid. XVIII, 6. — *μὴ δῷς μῶμον. Noli probrum ingerere.* Vid. *Schleusner.* in Lex. LXX. Intpp. s. v. *μῶμος.* — *Ἐν ἀγαθοῖς* elliptice est dictum pro: in conferendis bonis. Primum tribue beneficia, et deinde opportuniori tempore castiga. *L.*

35) *λόγου.* Sic Er. editio et vetus int. aliique apud *Montef.* at, *λόγων*, ante ceteros *Hoeschelius:* qui tamen postea in praeclara *Ecclesiastici* editione ad hunc ejus locum annotavit, vetustissimas Augustanas membranas, ex quibus editionem ille suam potissimum adornavit, et Biblia Complutensia habere *λόγου πονηροῦ.* [*Montef.* retinuit *λόγων*, quod est in vulgaribus Siracidae editionibus. *L.*]

36) *ὑπὲρ δόμα.* Ita *Savil.*, *Montefalcon.*, *Hughes*, et maxima pars Codicum. *Morellius* legit *ὑπὲρ δόματα.* In vulgaribus Siracidae editionibus est etiam *ὑπὲρ δόμα. L.*

37) *κεχαριτωμένῳ.* *Schleusnerus* in Lex. LXX. Intpp. Tom. V, p. 507 sine idonea causa legendum censet *κεχαριτωμένα*, ut vertenda sint haec verba: *Utraque homini conciliant gratiam.* In Chrysostomo nulla est h. l. lectionis diversitas. *L.*

38) *ὀλίγων.* Neutrum, ut *πλέον.*, *αὐτὰ* synthesin facit.

ξας ἐφύλαττεν, ἕως οὗ καιρὸς χαλεπὸς ἐπιστὰς παρέδωκεν
αὐτὰ ταῖς τῶν ἐναντίων χερσί. Πολλῆς οὖν δεῖ τῆς προμη- 311
θείας, ὡς μήτε πλεονάζειν, μήτε ἐλλείπειν τῆς ἐκκλησίας τὴν
περιουσίαν· ἀλλὰ πάντα μὲν σκορπίζειν ταχέως [39]) τοῖς δεο-
μένοις τὰποριζόμενα, ἐν δὲ ταῖς τῶν ἀρχομένων προαιρέσεσι
συνάγειν τῆς ἐκκλησίας τοὺς θησαυρούς. Τὰς δὲ τῶν ξένων 312
ὑποδοχάς, καὶ τὰς τῶν ἀσθενούντων θεραπείας, πόσης μὲν
οἴει δεῖσθαι χρημάτων δαπάνης, πόσης δὲ τῆς τῶν ἐπιστα-
τούντων ἀκριβείας τε καὶ συνέσεως; Καὶ γὰρ τῆς εἰρημένης
ἀναλώσεως ταύτην ἥττονα μὲν οὐδαμῶς, πολλάκις δὲ καὶ μεί-
ζονα εἶναι ἀνάγκη· καὶ τὸν ἐπιστατοῦντα, ποριστικόν [40]) τινα
μετ' εὐλαβείας καὶ φρονήσεως, ὡς παρασκευάζειν καὶ φιλοτί-
μως καὶ ἀλύπως διδόναι τοὺς κεκτημένους τὰ παρ' αὐτῶν,
ἵνα μὴ τῆς τῶν ἀσθενούντων ἀναπαύσεως προνοῶν, τὰς τῶν
παρεχόντων πλήττῃ ψυχάς. Τὴν δὲ μακροθυμίαν καὶ τὴν σπου- 313
δὴν πολὺ [41]) πλείονα ἐνταῦθα ἐπιδείκνυσθαι δεῖ. δυσάρεστον
γάρ πως οἱ νοσοῦντες χρῆμα καὶ ῥάθυμον· κἂν μὴ πολλὴ
πανταχόθεν εἰσφέρηται ἀκρίβεια καὶ φροντίς, ἀρκεῖ καὶ τὸ μι-
κρὸν ἐκεῖνο [42]) παροφθὲν μεγάλα ἐργάσασθαι τῷ νοσοῦντι κακά.

XVII. Ἐπὶ δὲ τῆς τῶν παρθένων [1]) ἐπιμελείας τοσούτῳ 314
μείζων ὁ φόβος, ὅσῳ καὶ τὸ κτῆμα τιμιώτερον, καὶ βασιλι-

---

39) *σκορπίζειν ταχέως.* Igitur in ejusmodi potissimum facultatibus praestat usus, quam usura. [*Σκορπίζειν* est *largiter distribuere*. Cf. 2. Cor. IX, 9. ubi etiam de beneficio dicitur, ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι. Esse hoc verbum Atticis insolens, et ante communis dialecti incrementa tantum in Jonica dialecto fuisse usitatum, docet *Lobeck.* ad Phrynich. p. 218 coll. *Passovio* in Lex. et *Planck.* de vera natura et indole orat. graecae N. T. p. 55. *L.*]

40) *ποριστικόν.* *Themistius* in Sophista, οὔτε ἐγὼ χρηματιστὴς καὶ ποριστικός· [*ποριστικὸς* vocatur is, *qui facile aliquid comparat.* Xenoph. Memorr. III, 1, 6. τὸν στρατηγὸν εἶναι χρὴ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις. *L.*]

41) *πολύ.* Saepe hoc additur comparativo: interdum, πολλῷ. [Vid. Lucian. Diall. D. II, 1. Xenoph. Memorr. II, 10, 2. Cyrop. VII, 2, 9. 2 Cor. VIII, 22. coll. *Passovio* in Lex. *L.*]

42) *ἐκεῖνο.* Possit hoc referri ad erratum, quod aeger ad animum nimis revocet. Augustanus, ἐκεῖ, ex rhythmo ἀρκεῖ. Erasmus omittit. Placet, ἐκείνῳ, scil. τῷ ἐπιστατοῦντι, *illi*, ab illo. [Modo ἐκείνῳ sit in Codicibus: *Montefalconius* habet ἐκεῖνο, quod ferri potest. *Hughes* legit ἐκεῖ, quae sana esse videtur lectio. *Tunc vel tantilla quidem negligentia potest magna aegrotanti mala afferre. L.*]

1) *παρθένων.* *Παρθένοι* quae sint, describitur a Basilio Can. XVIII. ad Amphiloch. p. 767, παρθένος ὀνομάζεται ἑκουσίως

κωτέρα [2]). αὕτη τῶν ἄλλων ἡ ἀγέλη· (ἤδη γὰρ καὶ εἰς τὸν τῶν ἁγίων τούτων χορὸν μυρίαι μυρίων γέμουσαι κακῶν εἰσε-
315 κώμασαν·) μεῖζον δὲ ἐνταῦθα τὸ πένθος. Καὶ καθάπερ οὐκ ἴσον, κόρην τε ἐλευθέραν καὶ τὴν ταύτης θεράπαιναν ἁμαρτεῖν· οὕτως οὐδὲ παρθένον καὶ χήραν. [3]) ταῖς μὲν γὰρ καὶ ληρεῖν, καὶ λοιδορεῖσθαι πρὸς ἀλλήλας καὶ κολακεύειν καὶ ἀναισχυντεῖν, καὶ πανταχοῦ φαίνεσθαι, καὶ τὸ περιϊέναι [4]) τὴν ἀγορὰν γέγονεν ἀδιάφορον· [5]) ἡ δὲ παρθένος ἐπὶ μείζοσιν ἀπεδύσατο, [6]) καὶ τὴν ἀνωτάτω φιλοσοφίαν [7]) ἐζήλωσε, καὶ τὴν τῶν ἀγγέλων πολιτείαν δεῖξαι ἐπὶ γῆς ἐπαγγέλλεται, καὶ μετὰ τῆς σαρκὸς ταύτης τὰ τῶν ἀσωμάτων αὐτῇ δυνάμεων κατορθῶσαι πρόκειται· καὶ οὔτε προόδους περιττὰς ποιεῖσθαι καὶ

ἑαυτὴν προσαγαγοῦσα τῷ Κυρίῳ, καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ βίον προτιμήσασα. Cf. Chrysost. Homil. XIII. in 1. ad Timoth. pag. 300. Intelliguntur igitur virgines Deo devotae. Commemorantur jam a Tertulliano tanquam virgines Christo nuptae. (Cf. Tertull. ad uxorem L. I, c. 4. de veland. Virgin. c. 14.) Serius dicebantur imprimis *virgines ecclesiasticae*, quia sese ecclesiae prorsus devoverant, sive *virgines canonicae*, quia nomina earum in canones relata erant. Vid. de iis **Schroeckh's** christl. *Kirch. Gesch.* T. V, pag. 173 sq. *L.*

2) βασιλικωτέρα. Frequens nostro epitheton. Conf. Jac. II. 8. S. Trinitatem βασιλικωτάτην appellat. Isid. Pel. Eleganter Alciphron, κἂν οἱ Βασιλεῖς ἐπιστείλωσι πάντες, ἐγὼ πάντων εἰμὶ παρὰ σοὶ Βασιλικωτέρα. p. 286. [Jam apud Xenoph. Sympos. I, 8. et Polyb. VIII, 12, 20. usurpatur hoc adjectivum ita, ut sit: *egregius, praestantissimus.* Eodem modo utuntur scriptores Latini adjectivo *regalis.* Vid. Cic. de off. I, 12. *L.*]

3) παρθένον καὶ χήραν. Ut de utriusvis officio dicere instituit Chrysostomus, sic utramvis plus virtutis poscit, hoc loco, virginem; viduam contra, Hom. 14. in 1. Tim. V. 10. ὅρα πόσην ἀπαιτεῖ τὴν ἀκρίβειαν παρὰ τῆς χήρας, ὅσην οὐδὲ παρὰ τῶν παρθένων.

4) τὸ περιιέναι. In articulo est epitasis (uti §. 203.) eaque hoc loco ad apodosin prospiciens. *ne* in forum *quidem* saepe venire virginem decet. conf. de foro, §. 8. 319. Augustanus τὸ omittit.

5) ἀδιάφορον. Hinc elegans verbum, ἀδιαφορεῖν. *Ephraim,* ὁ φοβούμενος οὐκ ἀδιαφορεῖ. ὁ μὴ ἔχων τὸν φόβον τοῦ Θεοῦ παρ' ἑαυτῷ μετεωρίζεται, ἀδιαφορεῖ. Nervus contra *Indifferentismum* practicum.

6) ἀπεδύσατο. Metaphora ab athletis ad certamen se exuentibus. §. 258. Catech. I. ad illuminandos: πρὸς τὸν πονηρὸν δαίμονα ἀποδύεσθαι μέλλομεν μετὰ τὸ βάπτισμα, πρὸς ἐκεῖνον πυκτεύειν καὶ μάχεσθαι. Idem verbum alia notione, §. 126. [Cf. Xenoph. Symp. II, 18. οὐ δεήσει με συγγυμναστὴν ζητεῖν, οὐδ' — ἀποδύεσθαι. Vid. **Matthaei** l. l. Homil. I, 25. pag. 9. *L.*]

7) φιλοσοφίαν. Continuatur metaphora ab athletis: quo pacto Justinianus μοναχικῆς φιλοσοφίας ἀγωνιστὰς appellavit, Vid. *P. Fabri* l. 1. Agonist. c. 15. et confer §. 4. 275.

πολλὰς δεῖ, οὔτε ῥήματα αὐτῇ φθέγγεσθαι εἰκῇ καὶ μάτην ἐφίεται, λοιδορίας δὲ καὶ κολακείας· οὐδὲ τοὔνομα εἰδέναι χρή. Διὰ τοῦτο ἀσφαλεστάτης φυλακῆς, καὶ πλείονος δεῖται τῆς 316
συμμαχίας. Ὅ τε γὰρ τῆς ἁγιωσύνης ἐχθρὸς ἀεὶ καὶ μᾶλλον αὐταῖς ἐφέστηκε καὶ προσεδρεύει, καταπιεῖν ἕτοιμος, εἴπου τὶς ἐξολισθήσειε καὶ καταπέσοι, ἀνθρώπων τε οἱ ἐπιβουλεύοντες πολλοὶ, καὶ μετὰ τούτων ἁπάντων ἡ τῆς φύσεως μανία· καὶ πρὸς [8]) διπλοῦν τὸν πόλεμον ἡ παράταξις αὐτῇ, τὸν μὲν ἔξωθεν προσβάλλοντα, τὸν δὲ ἔσωθεν ἐνοχλοῦντα. [9]) Διὰ 317
ταῦτα τῷ γοῦν ἐπιστατοῦντι πολὺς μὲν ὁ φόβος, μείζων δὲ ὁ κίνδυνος, καὶ ἡ ὀδύνη, εἴ τι τῶν ἀβουλήτων (ὃ μὴ γένοιτο) συμβαίη ποτέ. Εἰ γὰρ πατρὶ θυγάτηρ ἀπόκρυφος [10]) ἀγρυ- 318
πνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον· ὅπου περὶ τοῦ στειρωθῆναι ἢ παρακμάσαι ἢ μισηθῆναι [11]) τοσοῦτον δέος, τί πείσεται ὁ τούτων μὲν οὐδὲν, ἕτερα δὲ τούτων πολλῷ μείζονα μεριμνῶν; Οὐ γὰρ ἀνὴρ ἐνταῦθα ὁ ἀθετούμενος, ἀλλ' αὐτὸς ὁ Χριστός· οὐδὲ μέχρις ὀνειδῶν ἡ στείρωσις, ἀλλ' εἰς ἀπώλειαν ψυχῆς τελευτᾷ τὸ δεινόν. πᾶν γὰρ δένδρον, [12]) φησὶ, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. καὶ μισηθείσῃ δὲ παρὰ τοῦ νυμφίου, οὐκ ἀρκεῖ λαβεῖν ἀποστασίου βιβλίον καὶ ἀπελθεῖν· ἀλλὰ κόλασιν αἰώνιον τοῦ μίσους δίδωσι τὴν τιμωρίαν. Καὶ ὁ μὲν κατὰ σάρκα πατὴρ 319

---

8) *πρός.* Sic mss. apud Hoesch. verius. *ἁπλῶς*, edd. vet. elegantius. coll. §. 509 not. *ἁπλῶς πρὸς*, recentiores, conjunctim. *ἁπλῶς* *deest in quibusdam mss.* *Montef.*

9) *ἔσωθεν ἐνοχλοῦντα.* Augustanus, *ἔνδοθεν ὀχλοῦντα.* Idem mox, pro *γοῦν*, *τούτων.* Vet. int. *talibus.*

10) *ἀπόκρυφος.* Sic vocem עלמה interpretatur Aquila Gen, 24, 43. significatque *abscondita*, s. virgo, quae clausa et virorum aspectui occulta manet. *Montef.* Siracides: *θυγάτηρ πατρὶ, ἀπόκρυφος, ἀγρυπνία.* c. 42, 9. ubi errant, qui *ἀπόκρυφος ἀγρυπνία* construunt. Casaubonus: *Olim apud Judaeos, Graecos plerosque et Romanos, virgines domi continebantur in propriis oecis, quos Graeci appellant παρθενῶνας.* Ex. I. ad Baron. c. 23, ubi plura *περὶ τῶν κατακλείστων* (sic enim vocabant) ex hoc toto Chrysostomi loco illustranda. Exstant etiam *I. E. Pfeifferi* Diss. duae de Cura virginum apud veteres (recusae Rotterodami in Syntagmate) quae conferri et vicissim ex hoc loco augeri possunt. nam de episcopi cura silet; de cura parentum collegit plurima. [Vid. *Schleusner.* Lex. in LXX, Intpp. s. v. *ἀπόκρυφος.* Caeterum domus illa, qua tenebantur ecclesiasticae virgines, vocabatur etiam *παρθενών.* Vid. *Schroeckh.* l. l. T. V. pag. 174. *L.*]

11) *μισηθῆναι*, ne invisa sit, sc. marito,

12) *δένδρον.* Matth. III, 10,

πολλὰ ἔχει τὰ ποιοῦντα αὐτῷ τὴν φυλακὴν εὔκολον τῆς θυ-
γατρός. καὶ γὰρ καὶ μήτηρ, καὶ τροφὸς, καὶ θεραπαινῶν πλῆ-
θος, καὶ οἰκίας ἀσφάλεια συναντιλαμβάνεται τῷ γεννησαμένῳ
πρὸς τὴν τῆς παρθένου τήρησιν. οὔτε γὰρ εἰς ἀγορὰν αὐ-
τὴν [13]) ἐμβάλλειν ἐφίεται συνεχῶς· οὔτε, ἡνίκα ἂν ἐμβάλλῃ,
φαίνεσθαί τινι τῶν ἐντυγχανόντων ἀναγκάζεται, τοῦ σκότους
τῆς ἑσπέρας οὐχ ἧττον τῶν τῆς οἰκίας τοίχων καλύπτοντος
320 τὴν φανῆναι μὴ βουλομένην. χωρὶς δὲ τούτων πάσης αἰτίας
ἀπήλλακται, ὡς μὴ ἄν ποτε εἰς ἀνδρῶν ὄψιν βιασθῆναι ἐλ-
θεῖν· οὔτε γὰρ ἡ τῶν ἀναγκαίων φροντὶς, οὔτε αἱ τῶν ἀδι-
κούντων ἐπήρειαι, οὔτε ἄλλο τοιοῦτον οὐδὲν εἰς ἀνάγκην αὐ-
τὴν τοιαύτης συντυχίας καθίστησιν, ἀντὶ πάντων αὐτῇ γινο-
μένου τοῦ πατρός· αὐτὴ δὲ μίαν ἔχει φροντίδα μόνον, τὸ μη-
δὲν ἀνάξιον μήτε πρᾶξαι μήτε εἰπεῖν τῆς αὐτῇ προσηκούσης
321 κοσμιότητος. Ἐνταῦθα δὲ πολλὰ τὰ ποιοῦντα τῷ πατρὶ [14])
δύσκολον, μᾶλλον δὲ καὶ ἀδύνατον τὴν φυλακήν. οὔτε γὰρ ἔν-
δον ἔχειν αὐτὴν μεθ' ἑαυτοῦ δύναιτ' ἄν· οὔτε γὰρ εὐσχήμων
οὔτε ἀκίνδυνος ἡ τοιαύτη συνοίκησις. κἂν γὰρ μηδὲν αὐτοὶ ζη-
μιωθῶσιν, ἀλλ' ἀκεραίαν [15]) μείνωσι τὴν ἁγιωσύνην φυλάτ-
τοντες· οὐκ ἐλάττονα δώσουσι λόγον, ὑπὲρ ὧν ἐσκανδάλισαν
ψυχῶν, ἢ εἰ εἰς ἀλλήλους ἁμαρτάνοντες ἔτυχον. τούτου δὲ
οὐκ ὄντος δυνατοῦ, οὔτε τὰ κινήματα τῆς ψυχῆς [16]) καταμα-
θεῖν εὔπορον, καὶ τὰ μὲν ἀτάκτως φερόμενα περικόψαι, τὰ
δὲ ἐν τάξει καὶ ῥυθμῷ [17]) μᾶλλον ἀσκῆσαι καὶ ἐπὶ τὸ βέλτιον

---

13) *αὐτήν.* Al. *αὐτῇ.* recte utrumque. ut Latini: *licet mihi*, et, *licet*, *me hoc facere.* [Imo *αὐτῇ* tantum est vera lectio. Sensus est: *Non jubet eam in forum prodire.* Vid. *Passovius* in Lex. s. v. *ἐφίημι. L.*]

14) *τῷ πατρί.* Vet. int. *spirituali patri.* Sic vocari solebat episcopus. Exempla habet Hom. 4. c. Jud. et 20. ad Pop. Ant. et Basil. Sel. Or. 33. initio. Adde §. 518 et 29. Antitheton, *ὁ κατὰ σάρκα πατὴρ*, §. 319. [Cf. Euseb. H. E. V, 4. T. II. p. 42. ed. *Hein.* *χαίρειν ἐν θεῷ σε ἐν πᾶσιν εὐχόμεθα καὶ ἀεὶ, πάτερ Ἐλεύθερε.* Adde Iren. adv. Haer. IV, 79. Clement. Alex. Stromat. I. prooem. *πατέρας τοὺς κατηχήσαντάς φαμεν.* Cf. *Joh. Diecmann* de vocis papae aetatibus diss. II. Vitebergae 1671. et *Heinichen* ad Euseb. H. E. VII, 7, 4. T. II. pag. 310. *L.*]

15) *ἀκεραίαν*, *si vel infucatam tuerentur sanctimoniam.* De epitheto *ἀκέραιος*, quod explicat Hesychius per *καθαρὸς, ἄκακος*, vid. *Kuinoel.* ad Matth. X, 16. *L.*

16) *ψυχῆς.* *De occultis* igitur ecclesia si *non judicat* semper, tamen sollicita esse debet.

17) *τὰ κινήματα τὰ ἐν ῥυθμῷ*, motus animi, qui numerum servant. Metaphora a musica deducta est. Vid. *Matthaei*

ἀγαγεῖν· οὔτε τὰς ἐξόδους περιεργάζεσθαι ῥᾴδιον. Ἡ γὰρ πε- 322
νία, καὶ τὸ ἀπροστάτευτον, οὐκ ἀφίησιν αὐτὸν ἀκριβῆ τῆς ἐκείνῃ προσηκούσης εὐκοσμίας γενέσθαι ἐξεταστήν· ὅταν γὰρ ἑαυτῇ πάντα διακονεῖν ἀναγκάζηται, πολλάς, εἴ γε βούλοιτο μὴ σωφρονεῖν,[18]) τῶν προόδων τὰς προφάσεις ἔχει. καὶ δεῖ τὸν κελεύοντα διαπαντὸς οἴκοι μένειν καὶ ταύτας περικόψαι τὰς ἀφορμάς, καὶ τὴν τῶν ἀναγκαίων αὐτάρκειαν παρασχόντα καὶ τὴν πρὸς ταῦτα διακονησομένην αὐτῇ· δεῖ δὲ καὶ ἐκφορῶν[19]) καὶ παννυχίδων[20]) ἀπείργειν. οἶδε γάρ, οἶδεν ὁ πολυμήχανος ὄφις ἐκεῖνος καὶ διὰ χρηστῶν πράξεων[21]) τὸν αὐτοῦ παρασπείρειν ἰόν. καὶ χρὴ τὴν παρθένον πανταχόθεν τειχίζεσθαι, καὶ ὀλιγάκις τοῦ παντὸς ἐνιαυτοῦ προβαίνειν τῆς οἰκίας, ὅτ᾽ ἂν ἀπαραίτητοι[22]) καὶ ἀναγκαῖαι κατεπείγωσι προ-

---

l. l. Homil. IV, 92. Xenoph, Sympos. II, 22. Favorin. *ῥυθμός· ἁρμονία, ἀκολουθία, ἢ ἡ τῆς κινήσεως τάξις.* Vid. ***Sturz.*** Lex. Xenoph, IV, pag. 11. *L.*

18) *μὴ σωφρονεῖν.* Euphemia decora.

19) *ἐκφορῶν.* 2. Par. 16, v. 15, *καὶ ἐποίησαν αὐτῷ ἐκφορὰν μεγάλην ἕως σφόδρα.* Synes. ep. 3, *οὐ γὰρ οἶμαι νομίζεται νυμφευτρίαις βαδίζειν ἐπ᾽ ἐκφοράν.* i. e. non puto, novam nuptam convenire in funus prodire. ***Hoeschelius.*** [*ἐκφορὰ* quae sit funeris pars, docuit ***Kirchmann de Funeribus*** p. 76. *L.*] Vet. int. ***ecclesiasticis processionibus.*** genus pro specie. Athenis mortuorum filias innuptas etiam, ceterasque cognatas mulieres in funus prodisse, observat ***P. Victorius*** ex Terentio: Lysiamque addit, qui Eratosthenem in Defensione ei scripta sic loqui facit: *Ἐπ᾽ ἐκφορὰν αὐτῇ (τῇ μητρί μου) ἀκολουθήσασα ἡ ἐμὴ γυνή, ὑπὸ τούτου τοῦ ἀνθρώπου ὀφθεῖσα, χρόνῳ διαφθείρεται.* Subjicit doctissimus Italus: ***Non sine causa igitur apud nos dimissus hic mos est.*** l. 3. Var. lect. c. 12, Joh. Kirchmannus, Victorii observatione declarata, addit: ***Sed nec Christianis mulieribus virginibusque id fuisse permissum, ex S. Patrum scriptis apparet.*** l. 2. de Fun. Rom. c. 10. [pag. 122, ubi hunc nostrum locum citavit ***Kirchmannus.*** *L.*]

20) *παννυχίδων.* Hesychius, *παννυχίς, ἑορτὴ νυκτερινὴ σὺν ὅλῳ τῷ οἴκῳ.* Similem earum abusum notat Gellius l. 2. c. 23. ***Filia hominis pauperis in pervigilio vitiata est.*** Hieronymus in Ep. insigni ad Eust. de Virg. servanda: ***Rarus sit egressus in publicum: martyres vero tibi quaerantur in cubiculo tuo. nunquam vero deerit causa procedendi, si semper, quando necesse est, processura sis.*** Usum tamen studiosius retinendum contendit adv. Vigilantium: ***Paucorum culpa non praejudicat religioni*** etc.

21) *διὰ χρηστῶν πράξεων.* Simillimus ***Ephraimi*** locus, quem sic distinguas: *νῆφε σφόδρα ἐν τῷ σὲ σπείρειν τὸν σπόρον τοῦ κυρίου σου, μήποτε ὁ τὰ ζιζάνια* (subaudi *σπείρων*) *συμμίξῃ τι τῶν ἰδίων. ἔθος γὰρ αὐτῷ ἐστι διὰ τοῦ ἀγαθοῦ τὸ κακὸν κατεργάζεσθαι.* f. *μϛ´.*

22) *ἀπαραίτητοι. προφάσεις ἀπαραίτητοι* sunt ***causae inevitabiles.*** Chrysost. Tom. XII, pag. 388 A. *ἀνάγκῃ μεγάλῃ καὶ ἀπαραιτήτῳ πεπεδημένος.* Philo p. 140 A. *ὄλεθρον ἀπαραίτητον.* *L.*

323 φάσεις. Εἰ δὲ λέγοι τὶς, οὐδὲν εἶναι τούτων ἔργον ἐπισκόπῳ
μεταχειρίζειν, εὖ ἴστω, ὅτι τῶν ἐφ' ἑκάστῳ [23]) αἱ φροντίδες
καὶ αἱ αἰτίαι εἰς ἐκεῖνον ἔχουσι τὴν ἀναφοράν. Πολλῷ δὲ λυ-
σιτελέστερον [24]) αὐτὸν ἅπαντα διακονούμενον ἀπηλλάχθαι ἐγ-
κλημάτων, ἃ διὰ τὰς τῶν ἑτέρων ἁμαρτίας ὑπομένειν ἀνάγκη,
ἢ τῆς διακονίας ἀφειμένον, τὰς ὑπὲρ ὧν ἔπραξαν ἕτεροι, τρέ-
324 μειν εὐθύνας. [25]) πρὸς δὲ τούτοις ὁ μὲν δι' ἑαυτοῦ ταῦτα
πράττων, μετὰ πολλῆς τῆς εὐκολίας ἅπαντα διεξέρχεται· ὁ δὲ
ἀναγκαζόμενος μετὰ τοῦ πείθειν τὰς ἁπάντων γνώμας τοῦτο
ποιεῖν, οὐ τοσαύτην ἔχει τὴν ἄνεσιν ἐκ τοῦ τῆς αὐτουργίας
ἀφεῖσθαι, ὅσα πράγματα καὶ θορύβους διὰ τοὺς ἀντιπίπτον-
325 τας καὶ ταῖς αὐτοῦ κρίσεσι μαχομένους. Ἀλλὰ πάσας μὲν οὐκ
ἂν δυναίμην καταλέγειν τὰς ὑπὲρ τῶν παρθένων φροντίδας.
καὶ γὰρ καὶ ὅτ' ἂν αὐτὰς ἐγγράφεσθαι δέῃ, [26]) οὐ τὰ τυ-
χόντα παρέχουσι πράγματα τῷ ταύτην πεπιστευμένῳ τὴν οἰ-
κονομίαν.

326 XVIII. Τὸ δὲ τῶν κρίσεων [1]) μέρος μυρίας μὲν ἔχει τὰς
ἐπαχθείας, πολλὴν δὲ τὴν ἀσχολίαν, καὶ δυσκολίας τοσαύτας,
ὅσας οὐδὲ οἱ τοῖς ἔξωθεν δικάζειν καθήμενοι φέρουσι. καὶ γὰρ
εὑρεῖν αὐτὸ τὸ δίκαιον, ἔργον· καὶ εὑρόντα μὴ διαφθεῖραι,
327 χαλεπόν. οὐκ ἀσχολία δὲ μόνον καὶ δυσκολία, ἀλλὰ καὶ κίν-

---

23) *τῶν ἐφ' ἑκάστῳ.* Eleganter, coll. §. 336. Al. τῶν ἐφ' ἑκάστης γινομένων. [**Montefalconius** legit τῶν ἐφ' ἑκάστῳ γινομένων. *Joh. Hughes* habet τῶν ἐφ' ἑκάστης γινομένων. *L.*]

24) *λυσιτελέστερον.* Exstat Chrysostomi Serm. *Quod dispensatio rerum tuarum per te ipsum exsequenda est.*

25) *τρέμειν εὐθύνας.* **Cramerus** vertit: „*Es ist besser für ihn, wenn er alles selbst besorgt, und sich dadurch von aller Rechenschaft frei macht, die er alsdann für die Fehler andrer Menschen geben muss, als wenn er die Verwaltung dieser Geschäfte andern überlässt, und in beständiger Furcht vor der Verantwortung desjenigen sein muss, was andre thun.*"

26) *δέῃ.* Sic *Savilius* et aliquot Mss. *Montefalconius* habet δέοι. Paulo post, ut annotavit *Montefalc.*, pro πεπιστευμ. τὴν διακονίαν unus Codex habet πεπιστευμ. τὴν οἰκονομίαν. *L.*

1) *κρίσεων.* Non est hic sermo de civilibus judiciis, quae ad leges civiles exiguntur. Vid. *I. H. Boehmeri* Jus eccl. ant. Diss. III. §. 62 ss. Atque ipse Chrysostomus mox *sacerdotalis potestatis modum* commemorat. Manet tamen Christianis, qua talibus, sancta quaedam auctoritas in componendis mutuo suis controversiis, cujus non sane expertes sunt antistites. 1. Cor. 6, 1 s. Graviter Vir S. R. Eb. Frid. Hiemerus: *Possunt eaedem res*, inquit, *actiones et negotia hominum in oeconomicis, civilibus, matrimonialibus tam a politicis, quam Theologis* dijudicari, *quamquam diverso modo et fine.* Vid. plura in Diss. inaug. de Moderatione Theol. §. 13.

δυνος πρόσεστιν οὐ μικρός. ἤδη[2]) γάρ τινες τῶν ἀσθενεστέ-
ρων πράγμασιν ἐμπεσόντες, ἐπειδὴ προστασίας οὐκ ἔτυχον,
ἐναυάγησαν[3]) περὶ τὴν πίστιν. Πολλοὶ γὰρ τῶν ἠδικημένων, 328
οὐχ ἧττον τῶν ἠδικηκότων τοὺς μὴ βοηθοῦντας μισοῦσι· καὶ
οὔτε πραγμάτων διαστροφὴν, οὔτε καιρῶν χαλεπότητα, οὔτε
ἱερατικῆς δυναστείας μέτρον, οὔτε ἄλλο τοιοῦτον οὐδὲν λογί-
ζεσθαι[4]) βούλονται· ἀλλ᾽ εἰσὶν ἀσύγγνωστοι δικασταὶ, μίαν
ἀπολογίαν εἰδότες, τὴν τῶν συνεχόντων αὐτοὺς κακῶν ἀπαλ-
λαγήν· ὁ δὲ μὴ δυνάμενος ταύτην παρασχεῖν, κἂν μυρίας λέγῃ
προφάσεις, οὐδέποτε τὴν κατάγνωσιν φεύξεται τὴν παρ᾽ ἐκεί-
νων. Ἐπειδὴ δὲ προστασίας ἐμνήσθην, φέρε σοὶ καὶ ἑτέραν 329
μέμψεων ἀποκαλύψω πρόφασιν. Ἢν γὰρ μὴ καθ᾽ ἑκάστην
ἡμέραν μᾶλλον τῶν ἀγοραίων[5]) περινοστῇ τὰς οἰκίας ὁ τὴν
ἐπισκοπὴν ἔχων, προσκρούματα ἐντεῦθεν ἀμύθητα. Οὐδὲ γὰρ
ἀῤῥωστοῦντες[6]) μόνον, ἀλλὰ καὶ ὑγιαίνοντες[7]) ἐπισκοπεῖσθαι

---

2) *ἤδη.* Inservit haec particula provocationi ad ea, quae vita et usus docuit. §. 310. 314. 508. 516. 559. facitque ad *συνάφειαν*, ut notat *J. H. Kromayerus* in Ind. ad Musaeum. [Est *ἤδη* h. l. nihil aliud, quam nostrum: *schon, bereits.* „*Es haben bereits einige der Schwächern am Glauben Schiffbruch gelitten.*" *L.*]

3) *ἐναυάγησαν.* Morata enallage Graecis est, qua, quod fieri solet, id in praeterito exprimitur. §. 109. 515. 558. [Phrasis *ναυαγεῖν περὶ τὴν πίστιν* extat jam apud Paulum 1. Timoth. I, 20. *ἔχων πίστιν καὶ καλὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν.* Eadem metaphora etiam Ciceroni familiaris est, qui non semel sed saepius de naufragio fortunarum, patrimonii, reipublicae, existimationis loquitur. Quid sit phrasis *περὶ τὴν πίστιν ναυαγεῖν*, ipse Chrysostomus ad illum locum Paulinum bene exposuit, *ὁ ναυαγῶν*, inquit, *γυμνὸς, καὶ πάντων ἐστὶν ἔρημος· οὕτω καὶ ὁ τῆς πίστεως ἐκπεσὼν οὐδὲν ἔχει λοιπὸν, οὐχ ὅπου στῇ, οὐχ ὅπου κατάσχῃ· οὐ βίον ἔχει, δι᾽ οὗ κερδαίνῃ τι ἐκεῖθεν.* *L.*]

4) *λογίζεσθαι.* *Savilius* et *ἀναλογίζεσθαι.* *Montefalc.*

5) *μᾶλλον τῶν ἀγοραίων.* Vet. int. *magis quam scriba aliquis.* Sane et *ἀγοραίων* et *scribarum* nomine notarios venisse, docti homines probant: illis autem et episcopis multae domus obeundae. [Sub *ἀγοραίοις* h. l. intelligendi sunt *judices forenses.* Utrum *ἀγόραιος* an *ἀγοραῖος* scribendum sit, hac de re disputarunt *Casaubonus* ad Theophr. Charact. VI, 1. et *Valcken.* ad Ammon. p. 4. Cf. *Suiceri* Thesaur. s. h. v. et *Matthaei* l. l. Homil. II, not. 85. *L.*]

6) *ἀῤῥωστοῦντες.* Quia plerique valentes moribus temporibusque periculosissime distringuntur, sane animae rem agi et aeger et pastor putare debet, quum corpus ruinam minaturum videtur. Sed valde obstat error, e popularibus unus, ut mortis *πρόκριμα* habeatur, pastorem arcessere.

7) *ὑγιαίνοντες.* Atque hi tamen, quacunque de causa pastorem desiderant, ansam praebent, si hic sapiat, emendandi et lucri-

βούλονται, οὐ τῆς εὐλαβείας αὐτοὺς ἐπὶ τοῦτο προκαλουμένης, τιμῆς δὲ καὶ ἀξιώματος οἱ πολλοὶ ἀντιποιούμενοι μᾶλλον. Εἰ δέ ποτε συμβαίη, τινὰ τῶν πλουσιωτέρων καὶ δυνατωτέρων, χρείας τινὸς κατεπειγούσης, εἰς τὸ κοινὸν τῆς ἐκκλησίας κέρδος, συνεχέστερον ἰδεῖν· εὐθέως ἐντεῦθεν θωπείας καὶ κο-
§330 λακείας προσετρίψατο [8]) δόξαν. Καὶ τί λέγω προστασίας καὶ ἐπισκέψεις; [9]) ἀπὸ γὰρ τῶν προσρήσεων μόνον τοσοῦτο φέρουσιν ἐγκλημάτων ἄχθος, ὡς καὶ βαρύνεσθαι καὶ καταπίπτειν ὑπὸ τῆς ἀθυμίας πολλάκις. Ἤδη δὲ καὶ βλέμματος εὐθύνας ὑπέχουσι. τὰ γὰρ ἁπλῶς παρ᾽ αὐτῶν γινόμενα βασανίζουσιν ἀκριβῶς οἱ πολλοὶ, καὶ μέτρον φωνῆς ἐξετάζοντες, καὶ διάθεσιν ὄψεως, καὶ ποσότητα γέλωτος. τὸν μὲν δεῖνα, [10]) φησὶ, δαψιλῶς ἐπιγελάσας καὶ φαιδρῷ τῷ προσώπῳ καὶ μεγάλῃ προσεῖπε τῇ φωνῇ· ἐμὲ δὲ ἔλαττον καὶ ὡς ἔτυχε. καὶ ἂν πολλῶν συγκαθημένων μὴ πανταχοῦ περιφέρῃ τοὺς ὀφθαλμοὺς διαλεγό-
§331 μενος, ὕβριν τὸ πρᾶγμά φασιν οἱ λοιποί. Τίς οὖν μὴ λίαν ἰσχυρὸς ὢν τοσούτοις ἂν ἀρκέσειε κατηγόροις, ἢ πρὸς τὸ μηδ᾽ ὅλως γραφῆναι παρ᾽ αὐτῶν, ἢ πρὸς τὸ διαφυγεῖν μετὰ [11]) τὴν γραφήν; Δεῖ μὲν γὰρ μηδὲ ἔχειν κατηγόρους· εἰ δὲ τοῦτο

---

faciendi sui. Per publicas conciones primo excitantur animae: cetera fere privatas curas vigiliasque exspectant. Expende *Haeberlini* Theol. pract. pro ministris eccl. Part. II. Sect. I seqq.

8) *προσετρίψατο.* ἑαυτῷ additur §. 411. [„Ferri potest haec Lectio, quae est *Hoesch.* et *Duc.* si adjiciatur ἑαυτῷ [non opus est. *L.*] quemadmodum pag. 182 lin. 11. ἀμαθίας ἑαυτῷ προσετρίψατο δόξαν. Sed non necesse est, quum potior sit lectio Savil. et loco aptior (quam quidem nos restituendam monuimus), προσετρίψαντο, sc. οἱ πολλοὶ, de quibus agitur: Vi nimirum Episcopo, quod Potentiores frequentius visitaverit, *adulationis notam inurunt.*" **Hughes.** Demosthenes aliquo loco ait: πλούτου δόξαν προστρίβεσθαί τινι, *einem die Meinung des Reichthums zuwenden*, h. e. aliis persuadere, eum hominem divitem esse. Praeterea non necessarium esse ἑαυτῷ, quivis videt, qui novit vim Medii apud Graecos. Ea lectio, quam ex Savilii editione affert *Hughes*, sane glossatori originem suam debere videtur. *L.*]

9) *τί λέγω — ἐπισκέψεις;* *Sed quid dico patrocinia et aditus? Imo jam ex compellationibus tantam criminationum molem congerunt, ut illi summo animi moerore premantur. L.*

10) *τὸν μὲν δεῖνα.* *Savilius* ex uno Cod. scripsit πρὸς τὸν μὲν δεῖνα. *Morellius* habet τὸν δεῖνα. *Montefalconius* legit πρὸς τὸν δεῖνα. Tantundem. *L.* — *φησί.* *Inquit*, Graecus scilicet. [*δαψιλῶς ἐπιγελᾷν*, *profuse arridere.* De adverbio δαψιλῶς vid. **Hemsterhus.** ad Lucian. T. I, p. 452 ss. Cf. **Matthaei** l. l. Homil. I, not. 175. *L.*]

11) *μετά.* Omittit Erasmus. Tantundem.

ἀδύνατον, ἀπολύεσθαι 12) τὰ παρ᾽ ἐκείνων ἐγκλήματα· εἰ δὲ
οὐδὲ τοῦτο εὔπορον, 13) ἀλλὰ τέρπονταί τινες εἰκῇ καὶ ἁπλῶς
αἰτιώμενοι, γενναίως πρὸς τὴν τῶν μέμψεων τούτων ἀθυμίαν
ἵστασθαι. Ὁ μὲν γὰρ δικαίως 14) ἐγκαλούμενος κἂν ἐνέγκῃ τὸν 332
ἐγκαλοῦντα ῥαδίως· ἐπειδὴ γὰρ οὐκ ἔστι τις πικρότερος τοῦ
συνειδότος κατήγορος, διὰ τοῦτο, ὅτ᾽ ἂν ὑπ᾽ ἐκείνου τοῦ χαλεπωτάτου πρότερον ἁλῶμεν, τοὺς ἔξωθεν ἡμερωτέρους ὄντας
εὐκόλως φέρομεν. ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδέναι πονηρὸν ἔχων,
ὅτ᾽ ἂν ἐγκαλῆται μάτην, καὶ πρὸς ὀργὴν ἐκφέρεται ταχέως,
καὶ πρὸς ἀθυμίαν καταπίπτει ῥαδίως, ἂν μὴ πρότερον 15)
τύχῃ μεμελετηκὼς τὰς τῶν πολλῶν φέρειν ἀνοίας. οὐ γάρ
ἐστιν, οὐκ ἔστι συκοφαντούμενον εἰκῇ καὶ καταδικαζόμενον μὴ
ταράττεσθαι καὶ πάσχειν τι πρὸς τὴν τοσαύτην ἀλογίαν. Τί 333
ἄν τις λέγοι τὰς λύπας, ἃς ὑπομένουσιν, ἡνίκα ἂν δέῃ τινὰ
τοῦ τῆς ἐκκλησίας περικόψαι πληρώματος; 16) εἴθε μὲν οὖν 334
μέχρι λύπης ἵστατο τὸ δεινόν· 17) νῦν δὲ καὶ ὄλεθρος οὐ
μικρός. Δέος 18) γάρ, μή ποτε πέρα τοῦ δέοντος κολασθεὶς
ἐκεῖνος πάθῃ τοῦτο δὴ τὸ ὑπὸ τοῦ μακαρίου Παύλου λεχθὲν, καὶ
ὑπὸ τῆς περισσοτέρας λύπης καταποθῇ. 19) πλείστης οὖν κἀν- 335

---

12) *ἀπλύεσθαι τὰ ἐγκλήματα.* Sic *ἀπολύειν*, §. 132. [*Savilius* in margine *ἀπολύσασθαι*, alii *ἀποδύεσθαι*. Est vero *ἀπολύεσθαι ἐγκλήματα*, *crimen repellere*, quod dixit Quintil. IV, 2. *L.*]

13) *εὔπορον.* Idem dicit §. 462.

14) *ὁ μὲν γὰρ δικαίως.* Insignis locus, quem *Basilius Sel.* Or. 16. imitatus videtur.

15) *πρότερον.* *Morel.* et *Savil.* in margine *πρότερον ἢ τῇ ψυχῇ μεμελετηκώς.* Savil. in textu et plurimi Mss. *πρότερον τύχῃ μεμελετηκώς.* ***Montefalconius.*** Hanc posteriorem lectionem recepit *Bengelius.* Sensus: *Vel ad iram provocatur, vel moerore premitur, nisi forte antea jam vulgi insanias ferre didicerit. L.*

16) *τοῦ τῆς ἐκκλησίας περικόψαι πληρώματος.* Vet. int. *ab ecclesiae conventione separare.* [*Πλήρωμα* saepe significat id, quod in aliqua re continetur. Sic v. c. a Philostrato Heroic. p. 717 viri armati, qui in equo Trojano continebantur, vocantur *πλήρωμα.* Jam h. l. *τὸ πλήρωμα τῆς ἐκκλησίας* sunt illi, qui ad ecclesiam pertinent. Cf. *Suicer.* Thes. Eccl. T. II, p. 754. Simili modo est Psalm. XXIII, 1. apud *τοὺς ό: ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς*, terra, et *quicquid continetur in ea.* Et apud Philonem Vit. Mos. p. 451. animalia illa, quae in arca continebantur, dicuntur *πλήρωμα. L.*]

17) *εἴθε — τὸ δεινόν.* *Atque utinam intra luctum consisteret calamitas. L.*

18) *δέος.* Scil. pro illa severitate prisca. Contrario morbo nostra laborant tempora.

19) *καταποθῇ.* 2. Cor. II, 7. *L.*

ταῦθα δεῖ[20]) τῆς ἀκριβείας, ὥστε μὴ τὴν τῆς ὠφελείας ὑπό-
836 θεσιν, μείζονος αὐτῷ γενέσθαι ζημίας ἀφορμήν. Ὧν γὰρ ἂν
ἁμάρτῃ μετὰ τὴν τοιαύτην θεραπείαν ἐκεῖνος, κοινωνεῖ τῆς
ἐφ' ἑκάστῳ τούτων ὀργῆς, ὁ μὴ καλῶς τὸ τραῦμα τεμὼν ἰα-
837 τρός. [21]) πόσας οὖν χρὴ προσδοκᾶν τιμωρίας, ὅτ' ἂν μὴ μό-
νον, ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἐπλημμέλησεν, ἀπαιτεῖται λό-
γον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἑτέροις ἁμαρτηθέντων εἰς τὸν ἔσχα-
τον καθίσταται κίνδυνον; εἰ γὰρ τῶν οἰκείων πλημμελημάτων
εὐθύνας ὑπέχοντες φρίττομεν, ὡς οὐ δυνησόμενοι τὸ πῦρ ἐκ-
φυγεῖν ἐκεῖνο· τί χρὴ πείσεσθαι προσδοκᾶν τὸν ὑπὲρ τοσού-
838 των ἀπολογεῖσθαι μέλλοντα; Ὅτι γὰρ τοῦτό ἐστιν ἀληθές,
ἄκουσον τοῦ μακαρίου λέγοντος Παύλου, [22]) μᾶλλον δὲ οὐκ
ἐκείνου, ἀλλὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ· Πείθεσθε
τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ
839 τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. Ἆρα μικρὸς οὗτος
840 ὁ τῆς ἀπειλῆς φόβος; οὐκ ἔστιν εἰπεῖν. Ἀλλὰ καὶ τοὺς σφό-
δρα ἀπειθεῖς καὶ σκληροὺς, ἱκανὰ ταῦτα πάντα [23]) πεῖσαι, ὡς
οὔτε ἀπονοίᾳ οὔτε φιλοδοξίᾳ ἁλόντες, ὑπὲρ δὲ ἑαυτῶν δεδοι-
κότες μόνον, καὶ εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες,
ταύτην ἐφύγομεν τὴν φυγήν.

---

20) δεῖ. Ita *Savilius* et alii. *Montefalconius* secundum *Morellium* habet δέον. *L.*

21) ἰατρός. *Cramerus* h. l. ita vertit: *Denn wenn der Arzt mit der Wunde nicht vorsichtig genug umgegangen ist, so hat er sowohl an allen Uebertretungen, die ein solcher Sünder nach einer so strengen Cur begeht, als auch zugleich an der göttlichen Rache wider eine jede dieser Sünden Antheil. L.*

22) Παύλου. Huic aliis quoque locis Chrysostomus epistolam ad Hebraeos tribuit. [Locus ipse legitur Hebr. XIII, 17. *L.*]

23) πάντα. *Savil.* et *Montefalconius* habent ἱκανὰ ταῦτα πεῖσαι. *Morellius* vero, quem secutus est *Bengelius*, ταῦτα πάντα πεῖσαι. *L.*

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ Δ.

Τάδε ἔνεστιν ἐν τῷ δ' λόγῳ.

α'. Ὅτι οὐ μόνον οἱ σπουδάζοντες ἐπὶ κλῆρον ἐλθεῖν, ἀλλὰ καὶ οἱ ἀνάγκην ὑπομένοντες, ἐν οἷς ἂν ἁμάρτωσι, σφόδρα κολάζονται.

β'. Ὅτι οἱ χειροτονοῦντες ἀναξίους, τῆς αὐτῆς αὐτοῖς εἰσὶν ὑπεύθυνοι τιμωρίας, κἂν ἀγνοῶσι τοὺς χειροτονουμένους.

γ'. Ὅτι πολλῆς τῆς ἐν τῷ λέγειν δυνάμεως χρεία τῷ ἱερεῖ. *)

δ'. Ὅτι πρὸς τὰς ἁπάντων μάχας καὶ Ἑλλήνων καὶ Ἰουδαίων καὶ αἱρετικῶν παρεσκευάσθαι χρή.

ε'. Ὅτι σφόδρα ἔμπειρον εἶναι δεῖ τῆς διαλεκτικῆς.

ς'. Ὅτι τῷ μακαρίῳ Παύλῳ μάλιστα τοῦτο κατώρθωτο.

ζ'. Ὅτι οὐκ ἀπὸ τῶν σημείων μόνον λαμπρὸς ἐγένετο, ἀλλὰ καὶ ἀπὸ τοῦ λέγειν.

η'. Ὅτι καὶ ἡμᾶς τοῦτο βούλεται κατορθοῦν.

θ'. Ὅτι τούτου μὴ παρόντος τῷ ἱερεῖ, πολλὴν ἀνάγκη τοὺς ἀρχομένους ζημίαν ὑφίστασθαι.

Ταῦτα ὁ Βασίλειος ἀκούσας, καὶ μικρὸν ἐπισχών· ἀλλ' εἰ 341
μὲν 1) αὐτὸς ἐσπούδασας, φησὶ, ταύτην κτήσασθαι τὴν ἀρχὴν,
εἶχεν ἂν σου λόγον οὗτος ὁ φόβος. Τὸν γὰρ ὁμολογήσαντα 342

---

*) AD ARG. CAP. III. ET V. Verissime *Biblioth. Selecta Gall.* Tom. XXI. et *Biblioth. Nova Germ.* Tom. XXIII. in recensendis Dialogi editt. Cantabr. reprehendunt haec Lemmata, monentes, *non usum neque nixum fuisse ingenio aut dicendi disputandique artibus Apostolum; sed in Spiritu eum et veritate praedicasse evangelium.* Atque hoc quidem est, in quo ipse Chrysostomus similem apostoli esse debere episcopum, hostibus fidei occursurum, egregie §. 423. et toto illo loco docet. *Eloquentiam* vero humanam, saltem profanam, aperte jubet suas sibi res habere: neque ullam artis *dialecticae* mentionem facit; nedum Paulo eam, quod *argumenti collector* ad cap. VI. hujus libri facit, tribuat. Vel hoc indicio confirmatur, quod ad Arg. libri I. notavimus, alium esse Summarum ac Dialogi scriptorem. Ipsum Chrysostomum humano studio nimium tribuisse, si quis est qui statuendum putet; quintum potius librum citare debebit, ubi tenendi sui instituti causa, ut sacerdotii gravitatem demonstret, Homiletae labores exaggerat: quanquam illic quoque *rectum* a *vano* considerate discernit. Vide, quaeso, actutum §. 453. 463. 482.

1) *ἀλλ' εἰ μέν.* Quae hoc et seq. cap. copiose tractat auctor, eadem in Hom. ult. in Ep. ad Hebr. summatim repetit.

ἐπιτήδειον εἶναι πρὸς τὴν τοῦ πράγματος διοίκησιν τῷ σπουδάσαι λαβεῖν, οὐκ ἔστι μετὰ τὸ πιστευθῆναι, ἐν οἷς ἂν σφάληται, καταφυγεῖν εἰς ἀπειρίαν· προλαβὼν γὰρ αὐτὸς ἑαυτοῦ ταύτην ἀφείλετο τὴν ἀπολογίαν τῷ προσδραμεῖν καὶ ἁρπάσαι τὴν διακονίαν, καὶ οὐκ ἔτ' ἂν δύναιτο λέγειν ὁ ἑκὼν καὶ ἐθελοντὴς ἐπὶ τοῦτο ἐλθὼν, ὅτι ἄκων τὸ δεῖνα [2]) ἥμαρτον,
343 καὶ ἄκων τὸ δεῖνα διέφθειρα. Ἐρεῖ γὰρ πρὸς αὐτὸν ὁ ταύτην αὐτῷ τότε δικάζων τὴν δίκην· Καὶ τί δήποτε συνειδὼς ἑαυτῷ τοσαύτην ἀπειρίαν, καὶ οὐκ ἔχων διάνοιαν ἱκανὴν πρὸς τὸ μεταχειρίσαι τὴν τέχνην ταύτην ἀναμαρτήτως, ἔσπευσας, καὶ ἐτόλμησας μείζονα τῆς οἰκείας δυνάμεως ἀναδέξασθαι πράγματα; τίς ὁ καταναγκάσας; τίς ὁ πρὸς βίαν ἑλκύσας ἀπο-
344 πηδῶντα καὶ φεύγοντα; Ἀλλ' οὐ σύ γε τούτων οὐδὲν ἀκούσῃ ποτέ. Οὔτε γὰρ αὐτὸς ἂν ἔχοις τοιοῦτόν τι σαυτοῦ καταγνῶναι· καὶ πᾶσίν ἐστι καταφανὲς, ὅτι οὔτε μέγα οὔτε μικρὸν ὑπὲρ ταύτης ἐσπούδασας [3]) τῆς τιμῆς, ἀλλ' ἑτέρων γέγονε τὸ κατόρθωμα. καὶ ὅπερ ἐκείνους ἐν τοῖς ἁμαρτήμασιν οὐκ ἀφίησιν ἔχειν συγγνώμην, τοῦτό σοι πολλὴν παρέχει πρὸς ἀπολο-
345 γίαν ὑπόθεσιν. Πρὸς ταῦτα ἐγὼ κινήσας τὴν κεφαλὴν καὶ μειδιάσας [4]) ἠρέμα, ἐθαύμαζόν τε αὐτὸν τῆς ἁπλότητος καὶ

---

2) *τό.* Excusi libri, ante *διέφθειρα,* habent *τὸν δεῖνα·* et *δεῖνα* quidem est generis omnis, §. 287. 368. 374. 582. sed mss. apud *Hoesch.* iterum *τὸ δεῖνα,* non refragante veteri interprete. Commode *τὸ δεῖνα* notat *totum quiddam,* sive multitudinem animarum. [Minime! Imo vertendum vernaculo sermone: *Ich habe dieses oder jenes versehen.* *Hasselbachio* placuit sane *τὸν δεῖνα διέφθειρα.* Nolui tamen recedere a lectione, quae optimorum librorum auctoritate confirmatur. *L.*]

3) *ἐσπούδασας.* Vet. int. *temptasse.* et sic passim, *contempno, solempnis, aerumpna.* Unde celebratum illud Eberhardi I. Wirt. Ducis ATTEMPTO.

4) *μειδιάσας.* *subridens.* Hesychius: *μειδιᾷ· γελᾷ.* Cf. Jes. Siracid. XXI, 22. Discrimen est inter *μειδάω* et *μειδιάω,* de quo discrimine *Heinichen* ad Euseb. H. E. L. X, 9, 9. inter alia haec scripsit: „Primitus voce *μειδιᾷν* micans quaedam et quasi radians in vultu laetitia videtur significata esse. Vid. *Thiersch. Grammatik vorzüglich des homerischen Dialekts* §. 123. 2. not. p. 176. ed. III. „*Ursprünglich musste die Umformung des Worts durch solchen Zuwachs auch die Bedeutung ändern.* — — — *Μειδάω, ich lächle, μειδιάω* in *μειδιόων βλοσυροῖσι προσώπασι* Il. η, 212., *um den vor Freude blitzenden Blick der furchtbaren Augen zu bezeichnen; mit dem Ajas gegen Hektor zum Kampfe schreitet.*" Cf. Plutarch. Brut. C. LI. *ἠθικῶς δὲ σφόδρα μειδιάσας ὁ Βροῦτος.* Constantin. oration. ad sanct. coet. c. XXI.

Ἄρχεο μειδιόωσαν ὁρῶν τὴν μητέρα κεδνὴν
Γνωρίζειν.

πρὸς αὐτὸν ἔλεγον· Ἐβουλόμην καὶ αὐτὸς ταῦτα οὕτως ἔχειν,
ὡς ἔφης, ὦ πάντων ἀγαθώτατε σὺ, οὐχ ἵνα δέξασθαι δυ-
νηθῶ τοῦτο, ὅπερ ἔφυγον νῦν. εἰ γὰρ καὶ μηδεμία μοι προὔ-
κειτο κόλασις, ὡς ἔτυχε καὶ ἀπείρως ἐπιμελουμένῳ τῆς ποίμ-
νης τοῦ Χριστοῦ· ἀλλ' ἐμοὶ πάσης τιμωρίας χαλεπώτερον 5)
ἦν αὐτὸ τὸ πιστευθέντα πράγματα οὕτω μεγάλα περὶ τὸν πι-
στεύσαντα οὕτω φανῆναι κακόν. Τίνος οὖν ἕνεκεν ηὐχόμην 346
τὴν δόξαν σου ταύτην μὴ διαπεσεῖν; ἵνα τοῖς ἀθλίοις καὶ τα-
λαιπώροις 6) (οὕτω γὰρ δεῖ καλεῖν τοὺς οὐχ εὑρίσκοντας κα-
λῶς ταύτης προστῆναι τῆς πραγματείας, κἂν μυριάκις αὐτοὺς
πρὸς ἀνάγκην ἦχθαι λέγῃς, καὶ ἀγνοοῦντας ἁμαρτεῖν) ἵνα τού-
τοις διαφυγεῖν γένηται τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὸ
σκότος 7) τὸ ἐξώτερον, καὶ τὸν σκώληκα τὸν ἀτελεύτητον,
καὶ τὸ διχοτομηθῆναι, 8) καὶ τὸ μετὰ τῶν ὑποκριτῶν 9) ἀπ-

Ut locus hic se habet ex emendatione Valesii. Regius enim Cod. *μειδιῶν ὡς ἂν*, Steph. *μειδιόων ἀνορῶν*. Euseb. Praeparat. Evangel. II, 5. cf. Arnob. adv. gentes V, 26. P. I, p. 187. ed. Orell. Eustathius ad Hom. Odyss. XIII, 250. (*Baumgarten-Crusii* Odyss. P. I, Vol. II, p. 30.) *Passow* in Lex. s. v. *μειδάω*, et *Lobeck*. ad Phryn. p. 82." *L.*

5) *χαλεπώτερον*. Egregia confessio de Christo propter Christum amando.

6) *ταλαιπώροις*. Ambrosius: *Nihil est* miserabilius, *si de sancta vita episcopus periclitetur.* de Dign. sac. c. 3.

7) *σκότος*. Lampridius et recentiorum complures *tenebra* dixerunt. id servit *δεινότητι*.

